e Sibyllinis (cf. I 33, 333 VIII 270) suum in usum videtur convertisse: Gregorius autem Nazianzenus saepius Sibyllina imitatur, cf. Carm. I 1, 5, 10 (Sib. IV 6) I 1, 20, 15 sq.; I 1, 22, 10 sqq.; I 1, 21, 11 sq. (Sib. VIII 275—278); II 2, 7, 88 (Sib. Fragm. I 1) al.; quin etiam in titulo sepulcrali Diliporidis (de quo cf. p. 245) aenigma Sibyllinum, quod I 141—146 legitur, magna ex parte expressum est. quae cum ita sint, poetarum epicorum carminibus comparatis opimam emendationum messem nos facere posse apertum est. ut pauca quaedam exempla proponam, haec quaeso conferas aliorum meisque coniecturis ex Homero correcta: I 310 *εἶδός τε μέγεθός τε φυήν τ'* · II 111 *ἔσται γάρ τ' ἠὼς ἢ δείλης ἢ μέσον ἦμαρ* XII 256 *ἀπατήλια εἰδώς* XIV 112 *νιφὰς ἠδὲ χάλαζα* XIV 206 *ἐπειγόμενος περὶ νίκης* XIV 218 *περὶ ῥίον Οὐλύμποιο* XIV 224 *αἰετὸς αἴθων* XIV 251 *ἄνυσις οὐκ ἔσσεται αὐτοῖς* XIV 358 *συμβλήμενος ἄλλος ὁδίτης*.

quidquid vero subsidiorum criticorum comparatum est, ad genuinas Sibyllistarum scripturas restituendas haud sufficere inter harum rerum peritos satis constat, quoniam codices in quibus praecipuum recensionis fundamentum ponendum est cuncti variis modiis vitiati sunt ne iis quidem exceptis quibus integriorem contextus formam tradi intelleximus. itaque praesertim cum mendorum quae olim Sibyllistis ipsis temere sunt imputata magnam partem librariorum esse errores consentaneum sit, persaepe una salus in coniectura posita, unde, quamvis non ita multi critici vires suas Sibyllinis emaculandis voverint, non nunquam laetam tenebris lucem affulsisse gaudemus. et olim quidem praeter Castalionem Opsopoeumque editores de his oraculis bene meritos inprimis Auratus et Turnebus iis medicinam optimo cum successu adhibuerunt, hoc autem saeculo post Anonymum Parisinum (quo nomine clarissimi Hasii coniecturas publicavit Alexandre) et Struvium praecipue Volkmanni Meinekii Nauckii Ludwichii Mendelssohnii[1]) curas felicissimas oraculis Sibyllinis maximo usui fuisse quis est qui neget? Alexandri vero utilissimum laborem criticum laudare non desinet, quicumque oracula perlegerit. si quid ipse ad corruptelas corrigendas attulerim, magnopere laetabor, quamvis opus meum magis incohatum quam absolutum esse sentiam. socios laboris habuisse gaudeo viros doctissimos G. Hartelium Vindobonensem et V. Klouček Pragensem, quorum uterque qua est erga me liberalitate et benevolentia plagulas legens divinando nonnullos locos feliciter sanavit. quibus viris amplissimis gratias ago quam maximas. non minore beneficio me devinxit S. Brandt Heidelbergensis, qui vir humanissimus prompta voluntate de multis quos Lactantius commemorat locis Sibyllinis accurate me docuit.

dabam Pragae tertio Idus Novembres MDCCCLXXXX

---

[1]) Mendelssohnii egregias coniecturas in Philologi vol. XLIX 2 publicatas et ab auctore liberalissime ad me transmissas inde a medio libro quinto in usum criticum adhibui (praeterea etiam IV 2 casu ex Mendelssohnii divinatione corrigi potuit); ceteras, cum priores oraculorum libri tum iam typis expressi essent, 'Addendis' subiunxi, ubi etiam Gomperzii (cf. Beiträge zur Kritik und Erklärung griechischer Schriftsteller p. 15 sq.) et Ludwichii (Berliner Phil. Wochenschrift 1890 n. 45) perutiles emendationes commemorantur

NOTAE LIBRORVM

Classis Ω:

Q = codex Vaticanus 1120 saec. XIV
M = codex Ambrosianus E 64 sup. saec. XV
V = codex Vaticanus 743 saec. XIV
H = codex Monacensis gr. 312 saec. XVI (anno 1541 exaratus)

Classis Φ:

P = codex Monacensis 351 saec. XV
B = codex Bodleianus Baroccianus 109 saec. XV exeuntis
A = codex Vindobonensis hist gr. XCVI 6 saec. XV
S = codex Scorialensis II Σ 7 saec. XV exeuntis
p = codex Pithoei nunc deperditus
r = quaternio Ranconeti nunc deperditus

Classis Ψ:

F = codex Laurentianus plut. XI 17 saec. XV
R = codex Parisinus 2851 saec. XV exeuntis
L = codex Parisinus 2850 saec. XV (anno 1475 exaratus)
g = codex Gallaei nunc deperditus

Ω = consensus codicum classis primae[1])
Φ = consensus codicum classis alterius[1])
Ψ = consensus codicum classis tertiae[1])

[1]) aut omnium aut si quis deficit ceterorum

ADDENDA ET CORRIGENDA

p. 3, 24 sqq. cf. Buresch, Klaros p. 120, 15 sqq., *Χρησμοὶ τῶν Ἑλληνικῶν θεῶν* 75 sq.

p. 8 *Inscriptio*] adde: *βιβλίον σιβυλλιακὸν ἐν λόγοις θ'* (sic). *οἱ σιβυλλιακοὶ χρησμοὶ S*; post *Λόγος πρῶτος*] supple: *S*

p. 10 adnot. ad I 42: *γυνὴ προδότις πρωτίστη γίνετ' ἐκείνῳ Nauckii* (Mél. Gréco-Rom. IV 630), non *Volkmanni* coniectura est

p. 10 adn. ad I 44 *πεπειθμένος*] ante *I 77* supple: *codd.*; adde: *cf. XIV 200*

p. 11 adn. ad I 57; lege: *πληθύνεσθε καὶ Meineke*

p. 12 adn. ad I 86 post: *καὶ ἐπεὶ πρῶτον* lege: *Volkmann et Hartel*

p. 15 ad I 137—146 adde novum testem: *Χρησμοὶ τῶν Ἑλληνικῶν θεῶν* ed. Buresch 81 sq. = Klaros p. 122, 22—123, 10: *ὅτι ἡ Σίβυλλα λέγει, ὡς ὁ θεὸς περὶ ἑαυτοῦ διὰ σοφῶν αἰνιγμῶν πρὸς τὸν Νῶε τάδε φησίν·* 136 *'εἰμὶ δ''* — 146 *'σοφίης'. οὗτος μὲν οὖν ὁ τὴν θεοσοφίαν [Σιβύλλης] γεγραφώς, ἔδοξεν εἰς λύσιν τοῦ ζητουμένου τὸ μονογενοῦς ὄνομα καὶ τὸ Ἐμμανουὴλ εὑρεῖν. ἔοικε δὲ μὴ εἰδέναι τὴν λύσιν.* varia lectio: 137 *ἐγὼ δ γ' ἐών*] *ἔγωγε ὁ ὢν Tubingensis (cum Ψ), ἐγώγ' ὁ ἐών scripsit Buresch* 139] *om. Tubingensis (cum Ψ)* 143 *τὰ*] *om. Tubingensis* 145 *καὶ τρεῖς τρὶς δεκάδες σύν γ' ἑπτά*] *καὶ τρεῖς τρισκαιδεκάδες καὶ δὶς ἑπτά Tubingensis; Buresch fortasse scribi posse dicit τρεῖς τρισκαιδεκάδες δίς θ' ἑπτά*

p. 15 adn. ad I 144: *ἀριθμός* in contextum recipiendum esse suspicatus est Mordtmann (Mitth. d. d. arch. Inst. in Athen VII 256) e titulo Nicomediae, de quo cf. p. 245 editionis meae

p. 17 adn. ad I 184 *μιαρὸν*] lege: *suspicati sunt anonym. Londin. et Alexandre*

p. 17 I 192 *ἐπέλθῃσιν τὸ*, quod in adnotatione conieci, in contextu restituendum est

p. 18 adn. ad I 201 adde: *τὰ ἕκαστ' ἀγορεύειν*] *τὰ ἕκαστα περαίνειν malit Mendelssohn coll. V 432*

p. 19 I 234 *ἐμπείρως* e Mendelssohnii coniectura scribendum (*ἐμπείροις* codd.)

p. 21 in adn. ad I 257 lege: *I 251* (pro *I 201*)

p. 21 I 264 Mendelssohn scribendum esse censet: *ἐκ θανάτου, μεγάλῃ δὲ ποθῇ καταθύμιον ἦεν*; rectissime quidem *ἐκ θανάτου* (pro *ἐν τούτῳ*), reliquam vero versus partem haud mutaverim

p. 21 adn. ad I 275 adde: *in clausula Νῶε δ' ὡς ὄπ' ἄκουσεν primitus scriptum fuisse putat Mendelssohn*

p. 22 adn. ad I 276 *ἦξ'*] adde: *ἦσσ' malit Mendelssohn*

p. 22 I 289 Mendelssohn scribi iubet *κλυδωνισθεῖσα σὺν ἀνέρι καὶ δαέρεσσιν*

p. 24 ad I 324—330 adde novum testem: *Χρησμοὶ τῶν Ἑλληνικῶν θεῶν* ed. Buresch 83 = Klaros p. 123, 11—124, 4: *ὅτι ἡ Σίβυλλα περὶ τοῦ Χριστοῦ χρησμῳδεῖ ταῦτα·* 324 *'δὴ τότε καί'* — 330 *'νόησον'. οὗτος ὁ τῆς θεοσοφίας συγγραφεὺς τὸ ΙΗΣΟΥΣ ὄνομα παρατίθεται εἰς τὴν τοῦ ζητουμένου λύσιν καί, ὡς οἶμαι, τοῦτο ἀσφαλῶς.* varia lectio: 324 *καὶ*] *τοῦ Tubingensis (cum Ψ)* *πάις*] *παῖς Tubingensis cum*

codd. Sibyll.) 326 φέρει] φέρων *Tubingensis (cum Ψ)* δύ' ἄφωνα -- ἐξονονομήνω] τὸ δ' ἄφωνον ἐν αὐτῷ δισσόν· ἐγὼ δέ κέ σοι ἀριθμόν γ' ὅλον ἐξονομήνω *Tubingensis* 328 δ'] *om. Tubingensis* 329 ἀπληστιοχόροις] ἀπιστοχόροις *Tubingensis cum codd. Sibyll.*

p. 24 adn. ad I 324, adde: καὶ] τοῦ Ψ

p. 25 I 348 διὰ τοῦδε καὶ ἀτραπόν lectio classis Ψ metri caussa praeferenda est

p. 30 II 15 fortasse δεκάτῃ γενεῇ transponendum ex III 108 XI 14

p. 30 adn. ad II 31 οὐδὲ μεριζομένη] adde: διαμεριζομένη *Mendelssohn*

p. 39 II 79 ἱδρώσῃ (χειρί), quod etiam Boissonadio in mentem incidit, (pro ἱδρῶσιν) Mendelssohn suasit coll. Constit. Apost. I 6

p. 39 adn. ad II 188 αἰθέριον, adde: πυροφόρον *Mendelssohn suspicatur;* idem vir doctissimus in clausula versus σημήια τρισσά (pro τότε σήματα τρισσά codicum) legi posse censet

p. 42 II 238: malim ἀναλύσας (pro καταλύσας), cf. VIII 414

p. 42 adn. ad II 241, adde: ἐν νεφέλῃ ποτὶ ἄφθιτον *coniecit Mendelssohn*

p. 45 adn. ad II 312 χειρῶν] adde: χειλῶν *suspicatur Klouček,* cf. ad VIII 358

p. 45 adn. ad II 314 adde: ἠδὲ καὶ] ἠδεῖ' *Mendelssohn*

p. 46 II 332: dele τε praepropere a me ante καί intrusum

p. 46 II 336: ἀθανασίην veram lectionem esse (ἀθανάτοισιν codd.) vidit Mendelssohn coll. II 150

p. 48 adn. ad III 12 ὁρῶν μόνος] ὁρώμενος *malit Mendelssohn,* cf. ad Fragm. I 8

p. 51 III 70 metri caussa pro οὔ πω scribendum censeo aut οὐδέ aut οὔ τι

p. 59 adn. ad III 200 post δίκας τίσουσι Κρόνοιο] lege: *cum Volkmanno et Badtio*

p. 61 adn. ad III 242; post '*restituit*' exciderunt haec, quae supplenda sunt: *Volkmann;* οὐδέ γέ τις χήρας θλίβει. μᾶλλον δὲ βοηθεῖ (*Meineke* cet.)

p. 63 adn. ad III 283: lemma sic corrige: ὡς — θεός]

p. 65 III 333 in clausula ἔρημα πόληες restituendum e Gomperzii (qui contulit Esaiam I 7 et 35, 2) egregia coniectura quae mea longe praestantior est

p. 70 adn. ad III 420 post ὀνοπῆσιν ἐν σὺν supple: Φ

p. 71 adn. ad III 435 post ἐξεναρίξῃ excidit: Ψ

p. 72 III 460 recte quidem Mendelssohn coniecit βαρύτιμον (βαρυθύμων codd.)

p. 72 III 461 sq. fortasse tamen codicum scriptura retinenda ὀδμή correcto

p. 73 III 474 nunc Θρῆκες δ' αὖτε Κρόβυζοι Meinekianae lectioni praetulerim (nunquam enim Θρήικες forma in Sibyllinis offertur)

p. 78 III 578 μῆρα (μῆλα codd.) restituendum esse recte vidit Mendelssohn

p. 79 III 600 ὅν περ ὑπῆσαν (corrupte codd. ὃν παρέβησαν) scribi iussit Mendelssohn

p. 81 adn. ad III 634 τετύχωσι] adde: τε τύχωσι *codd.*

p. 83 III 673 e Mendelssohnii coniectura κατὰ γῆν καὶ λαμπάδες in contextum recipiendum est; in versu proximo (674) vir doctissimus suspicatus est ῥιπτούμεναι (λάμπουσαι codd.)

p. 89 adn. ad III 794 ἅμ' ἀσπίσι] post *Stadtmueller* supple: *et Mendelssohn*

p. 90 in testimoniis bis scribe *818* (pro *819*)

p. 95 IV 55 dele γ', quod vix videtur necessarium esse

p. 96 IV 69 fortasse hic quoque classis Ω sequenda est lectione corruptiore *(πύργων τ' ἐμπρησμοί)* in πύργων ἐμπρησμοί τε mutata

p. 98 IV 107 στρώσει coll. V 438 malit Mendelssohn (τρώσει codd.), fortasse rectius

p. 101 IV 164 φάσγανα καὶ στόνυχας (στοναχάς codd.) primitus scriptum fuisse censet Mendelssohn, non male

p. 105 V 34 aut δ' ἠλεὸν ὄντα aut δ' ἠλὸν ἐόντα (coll. Hom. *O* 128) Sibyllistam scripsisse censet idem vir doctissimus (δ' οὔ μιν ἐόντα codd.); cf. ad XII 86

p. 107 V 62 an αὐτὸν τότε (pro αὐτὸν τὸν) restituendum? sed cf. breves voculas tales in quarta thesi productas: τόν XII 216 Fragm. III 42 ὅς III 33 XII 264 δίς XI 230 τρίς VIII 50, 138 γάρ VII 160 σύν I 136 V 142, 222, 308 XII 193, 269 πρός III 669 V 199 al., in tertia τόν I 24 VII 95 ὅς VIII 69 (adde ὅς τ' XIV 205, 227)

p. 107 adn. ad V 81 δέ] ante *AF* supple: *P*

p. 109 V 98: quod in adnotatione conieci πολύολβε πολήων, in contextum recipi volo; πολύολβε πόλι, παμπολλά suspicatus est Mendelssohn

p. 112 V 157: versum sic conformavit Mendelssohn: ἥν τοι πρῶτον ἔθηκαν Ἐνυαλίῳ ἀνδρειφόντῃ

p. 112 V 159: καὶ φλέξειε βαθὺν πόντον καὐτὴν Βαβυλῶνα primitus scriptum fuisse censuit Mendelssohn

p. 116 V 248 pro τ' ἀρθήσεται nunc malim τε, τότ' εὔξεται codicum falsa scriptura (τε τότ' ἔσσεται) lenius mutata; cf. ad XIII 153, ubi eadem corruptela invenitur

p. 121 V 353: δή quod addidi supervacaneum videtur esse

p. 122 adn. ad V 356: θ' (non δ') ὁρμαῖς κτλ. exhibent *ΦΨ*

p. 123 adn. ad V 378, lege: πῦρ καὶ αἷμα *ΦΨ* (pro πῦρ τε καὶ αἷμα *ΦΨ*)

p. 131 VI 15: ἐκ δὲ μιῆς πήρης σπείρης κόρος ἔσσεται ἀνδρῶν scribendum esse arbitratur Gomperz, cui adsentiri non possum

p. 132 ad VI 26 adde novum testem: Χρησμοὶ τῶν Ἑλληνικῶν θεῶν ed. Buresch 80 = Klaros p. 122, 20 sq.: ὅτι ἡ Σίβυλλα ἔφη τό: 26 'ὦ ξύλον'—'ἐξετανύσθη' varia lectio: 26 ὦ μακαριστόν] τρισμακάριστον *Tubingensis* ἐφ' οὗ] ἐν ᾧ *Tubingensis*

p. 134 VII 27 pro corrupto μετρήσας Reichelt scribendum esse censuit μιτρώσας

p. 138 VII 96 versum insuavem sic fortasse quispiam conformaverit: Σαρδώ, ἐς τέφρην σὺ βαρεῖα μεταλλαχθήσῃ

p. 140 VII 149: nunc λευκοῖς ὑπ' ὀδοῦσι ex *Ψ* praeferendum censeo

p. 140 adn. ad VII 162; in versiculo a postremo proximo lege: *habent FL* (pro *habet F*)

p. 141 VIII 9 κλεινῶν scribendum suspicor (κλεινήν codd.), cf. XII 34 XIV 40

p. 150 VIII 194: ὅτε μὴ ἱλαρὰ (neutr. plur.) βασιλεύσει non male coniecit Ludwich

p. 151 VIII 196: versum sic scribi posse censet Ludwich: καὶ ὁπόταν ποτὲ παῖς ἱερὸς δόλῳ ὄφιν ἀπαντῶν | ἐξολέσῃ

p. 152 adde novum testimonium ad VIII 217—250: Χρησμοὶ τῶν Ἑλληνικῶν θεῶν ed. Buresch 77 = Klaros p. 122, 13 sq.: καὶ τὰ μὲν τῆς Ἐρυθραίας προγεγραμμένον ἔχοντα τοῦτο τὸ αὐτὸ τὸ ἀπὸ τοῦ Χριστοῦ ἐπικεκλημένον αὐτῇ γνώριμα κατέστη

p. 153 in adn. ad inscriptionem acrostichidis lege: *scripta sunt in parte codd.* (pro *in ΦΨ*)

p. 154 VIII 228 ἐλέγξει, quod Constantini Oratio cum *PΨ* exhibet, praeferendum videtur, cf. VIII 411 ὅτ' ἂν πυρὶ πάντας ἐλέγξω

p. 156 adn. ad VIII 244 σφρηγὶς ἐπίσημος] ante '*ΦΨ*' excidit: ἐπίσημος

p. 156 in adn. lege *256—428*] (pro *255—428*)

p. 161 in adn. ad VIII 303 καὶ πιέμεν] post *temptavi* adde: *idem Mendelssohn*

p. 163 in adn. lege *337—344*] *om.* *Ω* (pro *337—345*)

p. 166 in adn. excidit: *384—386*] *om. Ω*

p. 171 VIII 452: an *εὐφρόνῃ ἤματά θ'?*

p. 171 VIII 460: *ἐπείχθη* (pro *ἐδείχθη*) suspicatur Ludwich

p. 172 adn. ad VIII 478; adde: *fortasse σπαργανθέν (a σπαργαίνω verbo derivandum) a poeta scriptum esse arbitratur Ludwich*

p. 178 adn. ad XI 84: in clausula *τ' ἀγέρωχοι (τ' ἐρατωποί Ω)* coniecit Ludwich

p. 181 XI 134: nunc magis placet quam Mendelssohn invenit lectio *πληρώσει . . . ἔργα Κρονίων*; cf. quae ipse conieci XII 235

p. 181 XI 145 delendum *τε* a me incautius contextui insertum

p. 234 in testimoniorum sexto versu extremo (ad Fragm. I 28) dele: — *35* (ex antecedente iteratum

p. 236 adn. ad Fragm. III 7 *ἀνηρίθμων*] adde: *cf. I 235*

p. 237 Fragm. III 34: pro *οὗ* malim *ὅς*

p. 241 I 33 *ἀντίτυπον μίμημα* recurrit etiam I 333 VIII 270

p. 282: cum VI 26 *ὦ ξύλον ὦ μακαριστόν, ἐφ' οὗ θεὸς ἐξετανύσθη* conferas Oraculi a Bureschio (Klaros p. 130 sq.) editi versum 24: *Χριστὸς ἐμὸς θεός ἐστιν, ὃς ἐς ξύλον ἐξετανύσθη*

ΧΡΗΣΜΟΙ ΣΙΒΥΛΛΙΑΚΟΙ

ΑΝΩΝΥΜΟΥ

ΠΡΟΛΟΓΟΣ ΕΙΣ ΤΟΥΣ ΣΙΒΥΛΛΙΑΚΟΥΣ ΧΡΗΣΜΟΥΣ

Εἰ τὸ περὶ τὴν ἀνάγνωσιν τῶν Ἑλληνικῶν γραφῶν ἐκπονεῖν πολλὴν τοῖς ἐκμελοῦσι τὴν ὠφέλειαν ἀπεργάζεται, ἅτε πολυμαθεῖς τοὺς περὶ ταῦτα πονήσαντας ἐκτελέσαι δυνάμενον, πολλῷ μᾶλλον περὶ τὰς θείας γραφὰς ἅτε περὶ θεοῦ καὶ τῶν ὠφέλειαν ψυχικὴν προξενούντων δηλούσας τοὺς εὖ φρονοῦντας προσήκει σχολάζειν διὰ παντὸς διπλοῦν ἐκεῖθεν τὸ κέρδος κερδαίνοντας ἑαυτούς τε καὶ τοὺς ἐντυγχάνοντας ὠφελεῖν δυναμένους. ἔδοξε τοίνυν διὰ ταῦτα κἀμὲ τοὺς ἐπιλεγομένους Σιβυλλιακοὺς χρησμοὺς σποράδην εὑρισκομένους καὶ συγκεχυμένους τὴν τούτων ἀνάγνωσιν καὶ ἐπίγνωσιν ἔχοντας εἰς μίαν συνάφειαν καὶ ἁρμονίαν ἐκθέσθαι τοῦ λόγου, ὡς ἂν εὐσύνοπτοι τοῖς ἀναγινώσκουσιν ὄντες τὴν ἐξ αὐτῶν ὠφέλειαν τούτοις ἐπιβραβεύσωσιν οὐκ ὀλίγα τῶν ἀναγκαίων καὶ χρησίμων δηλοῦντες καὶ πολυτελεστέραν ἅμα καὶ ποικιλωτέραν τὴν πραγματείαν ἀπεργαζόμενοι. καὶ γὰρ περί τε πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος τῆς θείας καὶ ζωαρχικῆς τριάδος ἀριδήλως διασαφοῦσι περί τε τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς ἐκ παρθένου φημὶ ἀρρεύστου γεννήσεως καὶ τῶν παρὰ αὐτοῦ τελεσθεισῶν ἰάσεων ὡσαύτως τοῦ ζωοποιοῦ πάθους αὐτοῦ καὶ τῆς ἐκ νεκρῶν τριημέρου ἐγέρσεως καὶ τῆς μελλούσης γενέσθαι κρίσεως καὶ ἀνταποδόσεως ὧν ἐν τῷ βίῳ τούτῳ ἐπράξαμεν ἅπαντες· πρὸς τούτοις τὰ ἐν ταῖς Μωσαϊκαῖς γραφαῖς καὶ ταῖς τῶν προφητῶν βίβλοις δηλούμενα περί τε τῆς κοσμικῆς κτίσεως καὶ τῆς τοῦ ἀνθρώπου πλάσεως καὶ ἐκπτώσεως τοῦ παραδείσου καὶ αὖθις ἀναπλάσεως τρανῶς διαλαμβάνουσι· περί τινων γεγονότων ἢ καὶ ἴσως γενησομένων ποικίλως προλέγουσι· καὶ ἁπλῶς εἰπεῖν οὐ μικρῶς τοὺς ἐντυγχάνοντας ὠφελεῖν δύνανται.

Σίβυλλα δὲ Ῥωμαϊκὴ λέξις ἑρμηνευομένη προφῆτις ἤγουν μάντις· ὅθεν ἑνὶ ὀνόματι αἱ θήλειαι μάντιδες ὠνομάσθησαν. Σίβυλλαι τοίνυν, ὡς

24—42] *ex anonymo hauserunt scholiasta ad Platon. Phaedr. p. 244 B = vol. VI p. 269 sq. Hermann (cf. Maass de Sibyll. indic. 43), anecdoti Parisini (ed. Cramer I p. 332 sqq.) scriptor (Maass l. c. 45), anonymus apud Suidam (Maass l. c. 51 sq.); de Photio Amphiloch. 27 et chronici Paschalis scriptore cf. Maassium ibid. 43 et 48* 25 *ὅθεν —ὠνομάσθησαν*] Varro apud Lactantium div. inst. I 6, 7 = vol. I p. 20, 12—15 Brandt: Sibyllinos libros ait non fuisse unius Sibyllae sed appellari uno nomine Sibyllinos, quod omnes feminae vates Sibyllae sint a veteribus nuncupatae vel ab unius Delphidis nomine vel a consiliis deorum enuntiandis 25 *Σίβυλλαι—δέκα*] Varro apud Lactan-

12 *ποικιλωτέραν] ποικιλοτέραν A* 14 *διασαφοῦσι] διασαφοῦσιν S* 15 *ἀρρεύστου] ἀρεύστου codd., ἀρραίστου Opsopoeus, ἀρρήτου Alexandre coniecerunt* 20 *καὶ] Hartel, om. codd.* 22 *περί τινων] περί τε τινῶν olim Alexandre* 24 *Σίβυλλα—ὠνομάσθησαν*]

πολλοὶ ἔγραψαν, γεγόνασιν ἐν διαφόροις χρόνοις καὶ τόποις τὸν ἀριθμὸν δέκα. πρώτη οὖν ἡ Χαλδαία ἤγουν ἡ Περσὶς ἡ κυρίῳ ὀνόματι καλουμένη Σαμβήθη, ἐκ τοῦ γένους οὖσα τοῦ μακαριωτάτου Νῶε, ἡ τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα λεγομένη προειρηκέναι, ἧς μνημονεύει Νικάνωρ ὁ τὸν Ἀλεξάνδρου βίον ἱστορήσας· δευτέρα Λίβυσσα, ἧς μνήμην ἐποιήσατο Εὐριπίδης ἐν τῷ προλόγῳ τῆς Λαμίας· τρίτη Δελφὶς ἡ ἐν Δελφοῖς τεχθεῖσα, περὶ ἧς εἶπε Χρύσιππος ἐν τῷ περὶ θεότητος βιβλίῳ· τετάρτη ἡ Ἰταλικὴ ἡ ἐν Κιμμερίῳ τῆς Ἰταλίας, ἧς υἱὸς ἐγένετο Εὔανδρος ὁ τὸ ἐν Ῥώμῃ τοῦ Πανὸς ἱερὸν τὸ καλούμενον Λουπέρκιον κτίσας· πέμπτη ἡ Ἐρυθραία ἡ καὶ περὶ τοῦ Τρωικοῦ προειρηκυῖα πολέμου, περὶ ἧς Ἀπολλόδωρος ὁ Ἐρυθραῖος διαβεβαιοῦται· ἕκτη ἡ Σαμία ἡ κυρίῳ ὀνόματι καλουμένη Φυτώ, περὶ ἧς ἔγραψεν Ἐρατοσθένης· ἑβδόμη ἡ Κυμαία ἡ λεγομένη Ἀμάλθεια ἡ καὶ Ἡροφίλη, παρά τισι δὲ Ταραξάνδρα· Βεργίλιος δὲ τὴν Κυμαίαν Δηιφόβην καλεῖ Γλαύκου θυγατέρα· ὀγδόη ἡ Ἑλλησποντία τεχθεῖσα ἐν κώμῃ

tium ibid. I 6, 8 = vol. I p. 21, 1 Brandt: ceterum Sibyllas decem numero fuisse 27—38] Varro apud Lactantium ibid. I 6, 8—10 = vol. I p. 21, 3—17: primam fuisse de Persis, cuius mentionem fecerit Nicanor, qui res gestas Alexandri Macedonis scripsit; secundam Libyssam, cuius meminerit Euripides in Lamiae prologo; tertiam Delphida, de qua Chrysippus loquatur in eo libro, quem de divinatione conposuit; quartam Cimmeriam in Italia, quam Naevius in libris belli Punici, Piso in annalibus nominet; quintam Erythraeam, quam Apollodorus Erythraeus adfirmet suam fuisse civem eamque Grais Ilium petentibus vaticinatam et perituram esse Troiam et Homerum mendacia scripturum; sextam Samiam, de qua scribat Eratosthenes in antiquis annalibus Samiorum repperisse se scriptum; septimam Cumanam nomine Amaltheam quae ab aliis Herophile vel Demophile (Demo *Maass*) nominetur 28 *ἐκ—Νῶε*] Orac. Sib. III 827 *τοῦ μὲν ἐγὼ νύμφη καὶ ἀφ᾽ αἵματος αὐτοῦ ἐτύχθην* 33 *ἧς—κτίσας*] Clemens Alex. Strom. I 21, 108 = vol. II 90, 23 Dindorf: *ἐῶ δὲ τὴν Αἰγυπτίαν καὶ τὴν Ἰταλήν, ἣ τὸ ἐν Ῥώμῃ Κάρμαλον ᾤκησεν, ἧς υἱὸς Εὔανδρος ὁ τὸ ἐν Ῥώμῃ τοῦ Πανὸς ἱερὸν τὸ καλούμενον Λουπέρκιον* (*Λουπερκάλιον* Dionys. Ant. Rom. I 32) *κτίσας (Maass de Sibyll. indic. p. 39 adn. 91 haec a Varrone narrata fuisse censet, unde Fenestellam illa referre potuisse; ab hoc pendere anonymum contendit)* 38 *Βεργίλιος—θυγατέρα*] Vergilius Aen. VI 36: Deiphobe Glauci 39—42] Varro apud Lactantium ibid. I 6, 12 = vol. I p. 22, 10—16 Brandt: octavam Hellespontiam in agro Troiano natam, vico Marmesso *(sic Lactantium ipsum scripsisse pro* Marpesso *putat Maass)* circa oppidum Gergithium (Gergithum *Maass*), quam scribat Heraclides Ponticus Solonis et Cyri fuisse temporibus;

ex Anecd. Paris. (I p. 322 Cramer) transposuit Maass, post ‘δέκα’ (27) *in codd. Sibyll. leguntur* 26 *ἐν—τόποις*] *ἐν διαφόροις τόποις καὶ χρόνοις Castalio* 27 *κυρίῳ*] *Suidas, κυρίως codd. Sibyll. (cf. 40)* 28 *κατά*] *κατ᾽ Maass, κατὰ τὸν codd. Sibyll.* 29 *Νικάνωρ*] *Varro apud Lactantium (cf. supra) schol. Platon. Phaedr. Anecd. Paris. Suidas, ἱκανῶς codd. Sibyll.* 30 *Λίβυσσα*] *Varro l. c. schol. Platon. Anecd. Paris. Suidas, σίβυλλα codd. Sibyll.* 31 *Λαμίας*] *schol. Platon. Suidas, λαμίης S, λ μίης (sic) A* 33 *ἐν Κιμμερίῳ*] *Maass coll. Plin. nat. hist. III 5* (lacus Avernus . . . iuxta quem Cimmerium oppidum quondam), *ἐν Κιμμερίᾳ Suidas*, Cimmeriam *Varro apud Lactant., ἐν μερίᾳ codd. Sibyll., ἐν ἐρημίᾳ schol. Platon.* 34 *Λουπέρκιον*] *Clemens Alex. (cf. supra), λούπερκον codd. Sibyll. schol. Platon., Λουπερκάλιον (Dionys. Antiq. Rom. I 32) Maass suasit* 35 *Ἀπολλόδωρος*] *ἀπολλώδωρος superscripto ο A* 36 *διαβεβαιοῦται*] *cf. Maass de Sibyll. indic. 40* 37 *Ἀμάλθεια*] *schol. Platon. Anecd. Paris., ἀμαλθία codd. Sibyll., ἀμαλθαία Suidas* 38 *Ἡροφίλη*] Herophile *Varro apud Lactant. (cf. Pausan. X 12), ἐροφίλη codd. Sibyll., ἐρωφίλην schol. Platon., ἱεροφύλη Anecd. Paris., ἱεροφίλη Suidas* *παρά τισι δὲ*] *παρά τισιν ἐς A* *Ταραξάνδρα*] *schol. Platon., παραξάνδρα codd.*

ε

Sibyll. *Βεργίλιος*] *ipse dedi, βιργήλιος A* *δὲ*] *ἐς A* *Δηιφόβην*] *δηιφόβης*

Μαρπησσῷ περὶ τὴν πολίχνην Γεργίθιον, ἥτις ἐνορία ποτὲ Τρῳάδος ἐτύγχανεν ἐν καιροῖς Σόλωνος καὶ Κύρου, ὡς ἔγραψεν Ἡρακλείδης ὁ Ποντικός· ἐννάτη ἡ Φρυγία· δεκάτη ἡ Τιβουρτία ὀνόματι Ἀλβουναία.

φασὶ δέ, ὡς ἡ Κυμαία ἐννέα βιβλία χρησμῶν ἰδίων προσεκόμισε Ταρκυνίῳ Πρίσκῳ, τῷ τηνικαῦτα βασιλεύοντι τῶν Ῥωμαϊκῶν πραγμάτων τριακοσίους φιλιππείους ὑπὲρ αὐτῶν ζητήσασα. καταφρονηθεῖσα δὲ καὶ οὐδὲ ἐρωτηθεῖσα τίνα ἐστί, πυρὶ παρέδωκεν ἐξ αὐτῶν τρία. αὖθίς τε ἐν ἑτέρᾳ προσόδῳ τοῦ βασιλέως προσήνεγκε τὰ ἓξ βιβλία τὴν αὐτὴν ὁλκὴν ἐπιζητήσασα. οὐκ ἀξιωθεῖσα δὲ λόγου πάλιν ἔκαυσεν ἄλλα τρία. εἶτα ἐκ τρίτου ἐπιφερομένη τὰ περιλειφθέντα τρία προσῆλθεν αἰτοῦσα τὸ αὐτὸ τίμημα λέγουσα, εἰ μὴ λάβοι, καίειν καὶ αὐτά. τότε, φασίν, ὁ βασιλεὺς ἐντυχὼν αὐτοῖς καὶ θαυμάσας ἔδωκε μὲν ὑπὲρ αὐτῶν ἑκατὸν φιλιππείους καὶ ἐκομίσατο αὐτά, παρεκάλει δὲ περὶ τῶν ἄλλων· αὐτῆς δὲ ἀπαγγειλάσης μήτε τὰ ἴσα τῶν ἐμπρησθέντων ἔχειν μήτε τι δίχα ἐνθουσιασμοῦ τοιοῦτον εἰδέναι, ἔσθ' ὅτε δέ τινας ἐκ διαφόρων πόλεων καὶ χωρίων ἐξειληφέναι τὰ νομισθέντα αὐτοῖς ἀναγκαῖα καὶ ἐπωφελῆ καὶ δεῖν ἐξ αὐτῶν συναγωγὴν ποιήσασθαι, τοῦτο τάχιστα καὶ πεποιήκασι. τὸ γὰρ ἐκ θεοῦ δοθὲν ὡς ἀληθῶς μυχῷ κείμενον οὐκ ἔλαθε. πασῶν δὲ τῶν Σιβυλλῶν τὰ βιβλία ἀπετέθησαν ἐν τῷ Καπιτωλίῳ Ῥώμης τῆς πρεσβυτέρας· τῶν μὲν τῆς Κυμαίας κατακρυβέντων καὶ οὐ διαδοθέντων εἰς πολλούς, ἐπειδὴ τὰ συμβησόμενα ἐν Ἰταλίᾳ ἰδικώτερα καὶ τρανότερον ἀνεφώνησε, τῶν δὲ ἄλλων γνωσθέντων ἅπασιν. ἀλλὰ τὰ μὲν τῆς Ἐρυθραίας προγεγραμμένα ἔχει

nonam Phrygiam, quae vaticinata sit Ancyrae; decimam Tiburtem nomine Albuneam, quae Tiburi colatur ... 43—51] Varro apud Lactantium ibid. I 6, 10 sq. = vol. I p. 21, 17—22, 11 Brandt: eamque *(Sibyllam Cumanam)* novem libros attulisse ad regem Tarquinium Priscum ac pro iis trecentos philippeos postulasse regemque aspernatum pretii magnitudinem derisisse mulieris insaniam; illam in conspectu regis tris combussisse ac pro reliquis idem pretium poposcisse; Tarquinium multo magis insanire mulierem putavisse; quae denuo tribus aliis exustis cum in eodem pretio perseveraret motum esse regem ac residuos trecentis aureis emisse 54—56] Varro apud Lactantium ibid. I 6, 11 = vol. I p. 22, 7—11 Brandt: quorum *(librorum)* postea numerus sit auctus Capitolio refecto, quod ex omnibus civitatibus et Italicis et Graecis praecipueque Erythraeis coacti adlatique sunt Romam cuiuscumque Sibyllae nomine fuerunt 57—61] Lactantius div. inst. I 6, 13 = vol. I p. 22, 21 sq. Brandt: harum omnium Sibyllarum carmina et feruntur et habentur praeterquam Cymaeae, cuius libri a Romanis occultantur 61—63] Lactantius ibid. I 6, 13 = vol. I p. 23, 1—5 Brandt: et sunt singularum singuli libri: quos quia Sibyllae nomine inscribuntur unius esse credunt, suntque confusi nec discerni ac suum cuique adsignari potest nisi Erythraeae, quae

ς *in* ν *mutato* A 40 Μαρπησσῷ] *in Suidae adnot. correxit Bernhardy (sed* Μαρπήσσῳ. *accentum restituit Maass)*, Marmesso *Lactantius*, μαρσίσῳ *codd. Sibyll.*, μαρμυσσῷ *schol. Platon.*, μερμήσσω *Suidas*, Μαρμήσσῳ *Alexandre* Γεργίθιον] *correxit Bernhardy ibid.*, Gergithium *Lactantius*, γεργιτίονα *codd. Sibyll.*, γεργετίωνα *schol. Platon.*, γεργίτων *Anecd. Paris.* 42 Τιβουρτία] *schol. Platon.*, Tiburtem *Varro l. c.* τιγουρτία *codd. Sibyll. Suidas.* τιγούρτη *Anecd. Paris.* Ἀλβουναία] *schol. Platon.*, ἀβουναία *codd. Sibyll. Anecd. Paris. Suidas* 43 προσεκόμισε] προσεκόμισεν A 45 φιλιππείους] *Alexandre*, φιλιππαίους *codd. Sibyll.* 46 οὐδὲ] *Alexandre*, οὔτε *codd. Sibyll.* 47 προσόδῳ] *Alexandre*, προόδῳ *codd. Sibyll.* 53 μήτε τι] μήτ' ἔτι A 58 Καπιτωλίῳ] καπιτολίῳ A 60 τρανότερον] τρανώτερον *codd. Sibyll.*, *correxit Alexandre* ἀνε-

τοῦτο ἀπὸ τοῦ χωρίου ἐπικεκλημένον αὐτῇ ὄνομα· τὰ δέ γε ἄλλα οὐκ ἐπιγράφονται ποῖα ποίας εἰσίν, ἀδιάκριτα δὲ καθεστᾶσι.

Φιρμιανὸς τοίνυν, οὐκ ἀθαύμαστος φιλόσοφος καὶ ἱερεὺς τοῦ προλεχθέντος Καπιτωλίου γενόμενος, πρὸς τὸ αἰώνιον ἡμῶν φῶς τὸν Χριστὸν βλέψας ἐν ἰδίοις πονήμασι τὰ εἰρημένα ταῖς Σιβύλλαις περὶ τῆς ἀρρήτου δόξης παρέθηκε καὶ τὴν ἀλογίαν τῆς Ἑλληνικῆς πλάνης δυνατῶς ἀπήλεγξε. καὶ ἡ μὲν αὐτοῦ ἔντονος ἐξήγησις τῇ Αὐσονίᾳ γλώττῃ, οἱ δὲ Σιβυλλιακοὶ στίχοι Ἑλλάδι φωνῇ ἐξηνέχθησαν. ἵνα δὲ τοῦτο μὴ ἄπιστον φαίνηται, μαρτυρίαν τοῦ προμνημονευθέντος ἀνδρὸς παρέξομαι ἔχουσαν τόνδε τὸν τρόπον· ἐπεὶ οὖν τὰ παρ' ἡμῖν εὑρισκόμενα Σιβυλλιακὰ οὐ μόνον ὡς εὐπόριστα τοῖς νοοῦσι τῶν Ἑλλήνων εὐκαταφρόνητά ἐστι — τὰ γὰρ σπάνια τίμια δοκεῖ — ἀλλὰ καὶ ὡς πάντων τῶν στίχων μὴ σῳζόντων τὴν ἀκρίβειαν τοῦ μέτρου, ἀργοτέραν ἔχει τὴν πίστιν· αἰτία δὲ αὕτη τῶν ταχυγράφων οὐ συμφθασάντων τῇ ῥύμῃ τοῦ λόγου ἢ ἀπαιδεύτων γενομένων, οὐ τῆς προφήτιδος· ἅμα γὰρ τῇ ἐπιπνοίᾳ ἐπέπαυτο ἡ τῶν λεχθέντων μνήμη. πρὸς ἃ καὶ ὁ Πλάτων βλέψας ἔφη, ὅτι κατορθώσουσι πολλὰ καὶ μεγάλα πράγματα μηδὲν εἰδότες ὧν λέγουσιν. ἡμεῖς οὖν ἐκ τῶν κομισθέντων ἐν Ῥώμῃ ὑπὸ τῶν πρέσβεων ὅσα δυνατὸν παραθήσομαι· ἐξηγήσατο τοίνυν περὶ τοῦ ἀνάρχου θεοῦ τάδε·

εἷς θεός, ὃς μόνος ἄρχει, ὑπερμεγέθης ἀγένητος.
ἀλλὰ θεὸς μόνος εἷς πανυπέρτατος, ὃς πεποίηκεν
οὐρανὸν ἠέλιόν τε καὶ ἀστέρας ἠδὲ σελήνην

et nomen suum verum carmini inseruit et Erythraeam se nominatuiri praelocuta est, cum esset orta Babylone 66 sq.] cf. Lactantium div. inst. I 6, 14 = vol. I p. 23, 7 Brandt: omnes igitur hae Sibyllae unum deum praedicant, maxime tamen Erythraea 71—78] *nihil eiusmodi apud Lactantium; videtur anonymus neglegenter hoc loco posuisse, quae alibi afferre in animo habuerit; fons enim huius partis est* 'Iustinus' cohort. ad gentil. 37 = vol. II p. 122 Otto[3]: *ἔφασκον δὲ μετὰ πάντων ὧν διηγοῦντο καὶ τοῦτο ὡς παρὰ τῶν προγόνων ἀκηκοότες, ὅτι οἱ ἐκλαμβάνοντες τοὺς χρησμοὺς τηνικαῦτα ἐκτὸς παιδεύσεως ὄντες πολλαχοῦ τῆς τῶν μέτρων ἀκριβείας διήμαρτον καὶ ταύτην ἔλεγον αἰτίαν εἶναι τῆς ἐνίων ἐπῶν ἀμετρίας, τῆς μὲν χρησμῳδοῦ διὰ τὸ πεπαῦσθαι τῆς κατοχῆς καὶ τῆς ἐπινοίας μὴ μεμνημένης τῶν εἰρημένων, τῶν δὲ ὑπογραφέων δι' ἀπαιδευσίαν τῆς τῶν μέτρων ἀκριβείας ἐκπεπτωκότων. διὰ τοῦτο τοίνυν τὸν Πλάτωνα εἰς τοὺς τῆς Σιβύλλης ἀφορῶντα χρησμοὺς περὶ τῶν χρησμῳδῶν τοῦτ' εἰρηκέναι δῆλον. ἔφη γὰρ οὕτως· ὅταν κατορθῶσι λέγοντες πολλὰ καὶ μεγάλα πράγματα μηδὲν εἰδότες ὧν λέγουσι* 78 sqq.] Lactantius div. inst. I 6, 15 = vol. I p. 23, 16 sqq. Brandt: in his ergo versibus quos Romani legati attulerunt de uno deo haec sunt testimonia: 81 '*εἷς*—*ἀγένητος*'. hunc esse solum summum deum, qui caelum fecerit luminibusque distinxerit: 82 '*ἀλλὰ*' — 84 '*πόντον*'

φώνησε] *ἀνεφώνησεν S* 62 *τὰ—καθεστᾶσι*] *τὰ δέ γε ἄλλα (vel ἄλλ'), ἃ οὐκ ἐπιγράφονται ποῖα ποίας εἰσίν, ἀδιάκριτα κατέστησα Boissonade* 63 *ἀδιάκριτα δὲ καθεστᾶσι*] *scripsi, ἀδιάκριτα δὲ καθέστησα codd. Sibyll., ἀδιάκριτα δὲ καθέστηκε Castalio, ἀλλ' ἀδιάκριτα κατέστησαν Alexandre* 64 *Φιρμιανὸς*] *φι μινιανὸς A* 67 *τὴν ἀλογίαν*] *τῆς ἀλογίας codd. Sibyll., correxit Castalio* 72 *νοοῦσι*] *ipse scripsi, νοσοῦσι codd. Sibyll.* *ἐστι*] *ἐστιν A* 81] *quae secuntur, habet etiam P; versibus 81 sqq. praemittitur in codd. inscriptio περὶ τοῦ ἀνάρχου θεοῦ; P ante illam habet ΣΙΒΥΛΛΑΣ ΒΙΒΛΙΟΝ Α* 81] = *Fragm. I 7* *ὃς μόνος*] *μόνος ὃς add. transpositionis signo P. μόνος ὃς codd. cett.* 82—84] = *Fragm. III 3—5* 82 *πανυπέρτατος*] *πάντων*

καρποφόρον γαῖάν τε καὶ ὕδατος οἴδματα πόντου.
ὃς μόνος ἐστὶ θεὸς κτιστὴς ἀκράτητος ὑπάρχων·
αὐτὸς δ' ἐστήριξε τύπον μορφῆς μερόπων τε
αὐτὸς ἔμιξε φύσιν πάντων, γενέτης βιότοιο.

ὅπερ εἴρηκεν ἢ καθὸ συνερχόμενοι εἰς σάρκα μίαν προγίνονται ἢ καθὸ ἐκ τῶν τεσσάρων στοιχείων ἐναντίων ὄντων ἀλλήλοις καὶ τὸν ὑπουράνιον κόσμον καὶ τὸν ἄνθρωπον ἐδημιούργησεν.

85—87] Lactantius div. inst. II 11, 18 = vol. I p. 154, 21 — p. 155, 1 Brandt: Sibylla hominem dei opus esse testatur: 85 'ὃς μόνος' — 87 'βιότοιο' 88] cf. Genes. 2, 24 καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν

ὑπέρτατος codd. Sibyll. in textu, γρ. πανυπέρτατος P in margine 85—87] = *Fragm. V 1—3* 86] = *III 27* *δ' ἐστήριξε—μορφῆς] correxi e Fragm. V 2, στήριξε μορφῆς τε τύπον codd.* 87 *αὐτὸς ἔμιξε] scripsi e Fragm. V 3 (quod in P ex Lactantio adscripsit Betuleius), αὐγὰς μῖξε codd. hoc loco* *γενέτης] in Fragm. V 3 emendavit Stadtmueller, γενεῆς codd. utroque loco* 88 *προγίνονται] scripsi, πρς (i. e. πατρὸς) γίνονται codd., πατρὸς ‹ἑνὸς› γίνονται suspicatus est Hartel, προσγίνονται Alexandre* 89 *ἐκ τῶν] αὐτῶν S* *ὑπουράνιον] ὑπ' οὐράνιον P, ὑπερουράνιον A S*

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ

I Ἀρχομένη πρώτης γενεῆς μερόπων ἀνθρώπων
ἄχρις ἐπ᾽ ἐσχατίῃσι προφητεύσω τὰ ἕκαστα,
ὁππόσα πρὶν γέγονεν, ὅσα δ᾽ ἐστίν, ὁπόσσα δὲ μέλλει
ἔσσεσθαι κόσμῳ διὰ δυσσεβίας ἀνθρώπων.
πρῶτον δὴ κέλεταί με λέγειν θεός, ὡς ἐγενήθη
ἀτρεκέως κόσμος. σὺ δέ, ποικίλε θνητέ, πίφαυσκε
νουνεχέως, ἵνα μή ποτ᾽ ἐμῶν ἐφετμῶν ἀμελήσῃς,
ὕψιστον βασιλῆα, ὃς ἔκτισε κόσμον ἅπαντα
εἴπας ‛γινέσθω᾽, καὶ ἐγίνετο. ἥδρασε γὰρ γῆν
Ταρτάρῳ ἀμφιβαλὼν καὶ φῶς γλυκὺ αὐτὸς ἔδωκεν·
οὐρανὸν ὕψωσεν, γλαυκὴν δ᾽ ἥπλωσε θάλασσαν,
καὶ πόλον ἐστεφάνωσεν ἅλις πυριλαμπέσιν ἄστροις
καὶ γαῖαν κόσμησε φυτοῖς, ποταμοῖσι δὲ πόντον
χευάμενος ἐκέρασσε καὶ ἠέρι μῖξεν ἀυτμὰς
καὶ νέφεα δροσόεντα· τιθεὶς δ᾽ ἄρα καὶ γένος ἄλλο

8] Genes. 1, 1 9 sq.] Genes. 1, 3 9—11] Genes. 1, 7—10 12] Genes. 1, 14 13] Genes. 1, 14 sq. 15—18] Genes. 1, 20 sq., 24 sq.

Inscriptio: ΟἹ ΤΗ͂Σ ΣΙΒΎΛΛΑΣ ΧΡΗΣΜΟῚ *P*, οἱ Σιβυλλιακοὶ χρησμοί *A*, χρισμοὶ σιβυλλιακοί *L*, ἀρχὴ σὺν θεῷ τῆς (*sic*) τῆς Σιβύλλης βιβλίου *R*; *vetustate detrita in B, deest in F; carent totius operis titulo Q M V H*

Λόγος πρῶτος] ἐκ τοῦ πρώτου λόγου (*desideratur in B*) Φ; *in* Ψ *huic libro octavus antecedit* 1 πρώτης] πρώτη *L* 2 ἄχρις ἐπ᾽ ἐσχατίῃσι] *cf. XII 104* ἄχρις ἐπ᾽ ἐσχατίης ἐπ᾽ ἐσχατίῃσι] ἐπ᾽ ἐσχατιῆς Ψ 3 ὁππόσα—ἔσσεσθαι] *cf. IV 19* ὅσα νῦν τε καὶ ὁππόσα ἔσσεται αὖτις *V 113* τὸ παρὸν τό τε μέλλον ἔσεσθαι γέγονεν] γέγονε Ψ ὅσα δ᾽] *Volkmann*, πόσα δ᾽ Φ Ψ, πόσα τ᾽ *Opsopoeus* ἐστίν] *Opsopoeus*, ἔσσετ᾽ Φ (ἔσσεται *deleto* αι *A*), ἔσσεται Ψ ὁπόσσα] πόσσα (πόσα) *A* Ψ, οἷά τε *Volkmann (recepto* ἔσσεται) δὲ] τε *Opsopoeus* 4 δυσσεβίας] *Opsopoeus*, δυσσεβείας (δυσσευείας *P*) Φ Ψ διὰ—ἀνθρώπων] = *XIV 86* 5 πρῶτον—θεός] *cf. III 7* ὅσσα θεὸς κέλεταί μ᾽ ἀγορευέμεν ἀνθρώποισιν *XIII 1 sq.* θεσπέσιόν με λόγον κέλεται μέγαν αὖτις ἀείδειν | ἀθάνατος ἅγιος θεὸς ἄφθιτος ἐγενήθη] γενήθη *A* 6 ποικίλε θνητέ] ποικιλόθνητε Ψ, μοι φίλε θυμέ *a quodam proponi monuit anonymus Bernensis, sed cf. III 217, 624* βροτὲ ποικιλόμητι πίφαυσκε] *correxit Volkmann*, πίφασκε Φ Ψ 7 ἀμελήσῃς] ἀμελήσεις *P* 8 ἔκτισε] ἔκτησε *L* 9 εἴπας] εἶπασ *P*, εἶπε Ψ γινέσθω] *Volkmann*, γινάσθω Φ, γειγάσθω Ψ καὶ ἐγίνετο] *scripsi*, καὶ γίνετο *Volkmann*, καὶ γίνατο Φ, καὶ ἐγείνατο Ψ 10 Ταρτάρῳ ἀμφιβαλὼν] = *I 119; correxit Opsopoeus ex l. c.*, ταρτάρῳ ἀμφὶ σάλον (σῶον *P*) Φ, ταρτάρου ἀμφὶ σάλον Ψ, Ταρτάρῳ ἀμφίαλον *Turnebus* ‛*salo sive mari cinctam*᾽ 11 οὐρανὸν] οὐρανὸν δ᾽ Ψ ὕψωσεν] ὕψωσε Φ Ψ 12 ἅλις] ἅλιν *A* πυριλαμπέσιν] *P*, περιλαμπέσιν *codd. cett.* 14 χευάμενος] χευάμενον Ψ, χευαμένοις *Auratus, quod sensu medio intellexit Volkmann, passivo anonymus Parisinus, quem secutus est Alexandre (qui in textu edit. alterius* χευομένοις *perperam edidit)* ἐκέρασσε] ἐκέρασε Φ Ψ ἠέρι] *scripsi*, ἀέρι Φ Ψ μῖξεν] μῖξεν Φ ἀυτμὰς] ἀιτμᾶσ *P* ἀυτ (*deest syllaba* μὰς) *A* 15 νέφεα] νέφεος *A* δ᾽] *addidit Auratus, om.* Φ Ψ

I ἰχθύας ἐν πελάγεσσι καὶ ὄρνεα δῶκεν ἀήταις,
ὕλαις δ' αὖ θῆρας λασιαύχενας ἠδὲ δράκοντας
ἑρπυστὰς καὶ πάνθ' ὅσα νῦν κατὰ γαῖαν ὁρᾶται.
αὐτὸς ταῦτ' ἐποίησε λόγῳ καὶ πάντ' ἐγενήθη
ὦκα καὶ ἀτρεκέως· ὅδε γὰρ πέλετ' αὐτολόχευτος
οὐρανόθεν καθορῶν· ὑπέρεν τετέλεστο δὲ κόσμος.
καὶ τότε δὴ μετέπειτα πλάσεν πάλιν ἔμπνοον ἔργον
εἰκόνος ἐξ ἰδίης ἀπομαξάμενος νέον ἄνδρα
καλὸν θεσπέσιον, τὸν δὴ κέλετ' ἐν παραδείσῳ
ἀμβροσίῳ ναίειν, ὥς οἱ καλὰ ἔργα μεμήλοι.
αὐτὰρ ὃ μοῦνος ἐὼν παραδείσου ἐριθηλέι κήπῳ
προσλαλιὴν ποθέεσκε καὶ ηὔχετο εἶδος ἀθρῆσαι
ἄλλ', οἷον αὐτὸς ἔχεν. τοῦ δὴ θεὸς αὐτὸς ἀπούρας
ὀστέον ἐκ λαπάρης ἐποιήσατο Εὔαν ἀγητήν,
κουριδίην ἄλοχον, ἣν δὴ πόρεν ἐν παραδείσῳ
τούτῳ συνναίειν. ὃ δέ μιν κατιδὼν μέγα θυμῷ
θαῦμ' ἔχεν ἐξαπίνης κεχαρημένος, οἷον ὁρᾶτο
ἀντίτυπον μίμημα· σοφοῖς δ' ἠμείβετο μύθοις
αὐτομάτοις ῥείουσι· θεῷ γὰρ πάντ' ἐμεμήλει.

19—21] Genes. 1, 31 21] Genes. 2, 1 22—25] Genes. 1, 27; 2, 7 sq., 15 26 sq.] Genes. 1, 18 28 sqq.] Genes. 2, 21—23

16 πελάγεσσι] πελάγεσι *A* 17 ἠδὲ] ἢ δὲ *P* 18] *sic ipse versum conformavi;* ἑρπυστὰς καὶ πάνθ' ὅσα νῦν καθορᾶται Φ Ψ, ἑρπυστὰς κυάνους καὶ πάνθ' ὅσα νῦν καθορᾶται *Alexandre (coll. XIII 160 et Nicandr. Ther. 438),* ἑρπυστὰς δῶκεν καὶ πάνθ' ὅσα νῦν καθορᾶται *Volkmann,* ἑρπυστὰς καὶ πάνθ' ὅσα κυκλόσε νῦν καθορᾶται *Castalio et Turnebus,* ἑρπυστὰς καὶ πάνθ' ὅσα πάντοσε νῦν καθορᾶται *Meineke,* ἑρπυστὰς καὶ πάνθ' ὅσα κνώδαλα νῦν καθορᾶται *M. Schmidt* 19 ταῦτ' ἐποίησε] ταῦτα ποίησε *B* λόγῳ] *om. A relicto spatio* 21 οὐρανόθεν καθορῶν] *Bleek,* οὐρανὸν καθορῶν Φ Ψ, οὐρανὸν ἐγκαθορῶν *Turnebus et Auratus* ὑπέρεν τετέλεστο δὲ κόσμος] *restituit Hartel,* ὑποτετέλεστο δὲ κόσμος Φ Ψ, ὑπαιτετέλεστο δὲ κόσμος *Castalio,* ὑπὸ δὲ κόσμος τετέλεστο *Volkmann,* πᾶσιν τετέλεστο δὲ κόσμος *Auratus,* εἶπεν· τετέλεσται ὁ κόσμος *Bleek Turnebi coniectura* εἶπεν *usus,* οὕτω τετέλεστο δὲ κόσμος *Alexandre* 23] *cf. VIII 266* εἰκόνος ἡμετέρης ἀπομαξάμενοι βροτὰ φῦλα 25 ὥς — μεμήλοι] *cf. III 220* οἷσιν ἀεὶ βουλή τ' ἀγαθὴ καλά τ' ἔργα μέμηλεν ὥς οἱ] ὅπποι Ψ μεμήλοι] *Volkmann,* μεμήλη Φ, μεμήλει Ψ 26 ὃ] *R,* ὃς Φ *F L* παραδείσου — κήπῳ] αὐτοῦ ἐριθηλέι κήπῳ *Turnebus,* παραδείσου εὐθηλέι κήπῳ *Meineke,* παραδείσου ἡδέι κήπῳ *Alexandre (Cur. poster.); vix mutandum, cf. Fragm. III 48* οἰκοῦντες παραδείσου ὁμῶς ἐριθηλέα κῆπον; *de synizesi graviore v. Oracul. apud Herodot. VII 220 = Oracula ed. Hendess 109, 2* ἢ μέγα ἄστυ ἐρικυδὲς ὑπ' ἀνδράσι Περσεΐδῃσι | πέρθεται 27 προσλαλιὴν] πρὸς λαλιὴν *A* 28 sq.] *anonymus Paris. sic conformabat :* ἄλλ' οἷόν τ' ἔχεν αὐτός· ὃ δὴ θεὸς αὐτὸς ἀπούρας | ἐκ λαπάρας τούτου ἐποιήσατο κτλ. 28 ἔχεν] ἔσχεν *P,* ἔχει *F R,* ἔχειν *L* 29 ὀστέον ἐκ λαπάρης] *ipse scripsi,* ἐκ λαπάρας ὀστοῦν *Auratus,* ἐκ λαπάρας τούτῳ *(quae vox e v. 31 irrepsit)* Φ, ἐκ λαπάρας τούτου Ψ ἐποιήσατο] ἐποήσατο *F* Εὔαν] Φ *(sic LXX interpretes),* Εὖαν Ψ 32 ἐξαπίνης] *ipse scripsi, cf. ad I 344,* ἐξαίφνης Φ Ψ οἷον] *Auratus,* οἷος Φ Ψ, *cf. I 147* οἷον ἄκουσεν ὁρᾶτο] *Auratus,* ὁρᾶται *corruptum ex I 18 (*καθορᾶται*)* Φ Ψ 33 ἀντίτυπον μίμημα] = *I 333 VIII 270* 34 αὐτομάτοις ῥείουσι] Ψ, αὐτομάτοισι ῥέουσι Φ, αὐτομάτως ῥείουσι *Opsopoeus* πάντ' ἐμεμήλει] *P,* πάντα μεμήλει *codd. cett.*

I οὔτε γὰρ ἀκρασίῃ νόον ἔσκεπον οὔτε μὲν αἰδῶ
ἄμφεχον, ἀλλ' ἦσαν κραδίαις ἀπάνευθε κακοῖο
χὡς θῆρες βαίνεσκον ἀποσκεπέεσσι μέλεσσιν.
καὶ μετέπειτα δὲ τοῖσι θεὸς ἐφετμὰς ἀγορεύσας
δεῖξέ τινος δένδρου μὴ ψαῦσαι· τοὺς δὲ μάλ' αὐτὸς
ἐξαπάτησεν ὄφις δολίως ἐπὶ μοῖραν ἀπελθεῖν
τοῦ θανάτου γνῶσίν τε λαβεῖν ἀγαθοῦ τε κακοῦ τε.
ἀλλὰ γυνὴ πρώτη προδότις τότε γίνετ' ἐκείνῳ,
ἣ δῶκεν, τοῦτον δ' ἀδαῆ πείθεσκεν ἁμαρτεῖν.
ὃς δὲ γυναικὸς ἔπεσσι πεπειθμένος ἐξελάθεσκεν
ἀθανάτου κτιστοῦ, σαφέων δ' ἀμέλησεν ἐφετμῶν.
τοὔνεκεν ἀντ' ἀγαθοῖο λάβον κακόν, οἷον ἔπραξαν.
καὶ τότε δὴ γλυκερῆς συκῆς πέταλ' ἀμπείραντες,
ἐσθῆτας τεύξαντες, ἐπ' ἀλλήλοισιν ἔθηκαν
μήδεά τ' ἀμφεκάλυψαν, ἐπεί σφισιν ἧιεν αἰδώς.
τοῖσιν δ' ἀθάνατος κότον ἔνθετο κἄβαλεν ἔξω
ἀθανάτου χώρου. τόδε γὰρ τετελεσμένον ἦεν

35—37] Genes. 3, 1 38 sq.] Genes. 2, 17; 3, 3 39 sq.] Genes. 3, 4 42—49] Genes. 3, 6 sq. 50—55] Genes. 3, 23

35 ἀκρασίῃ] ἀκρσίῃ P, 'fortasse ἀφραδίῃ' Boissonade 36 ἄμφεχον] Alexandre, εἶχον Φ, ἄμφω εἶχον Ψ κραδίαις] Alexandre, κραδίης Φ Ψ, genetivum intellegens Meineke coniungendum censuit cum κακοῖο coll. III 634 φοβεροῖο δίκης, κραδίῃς Boissonade, κραδίην Auratus 37 χὡς] Volkmann, χ' ὡς Auratus, χώς Alexandre, καὶ ὡς Φ Ψ βαίνεσκον] anonymus Bernensis, δὴ βένεσκον Φ, ἀβαίνεσκον Ψ, δὴ βίνεσκον Castalio (unde olim Volkmann δὲ βίνεσκον coniecit) χὡς θῆρες βαίνεσκον] βαίνεσκόν θ' ὡς θῆρες Volkmann (in specimine editionis orac. Sibyll.). ἀποσκεπέεσσι] ἀπὸ σκοπέεσσι A, ἀπὸ σκοπίεσσι P B L, ἀποσκοπίεσσι F R μέλεσσιν] μέλεσσι F, μέλεσι L R, om. Φ
38 καὶ μετέπειτα δὲ τοῖσι θεὸς] Castalio, καὶ μετέπειτα δὲ θεὸς τοῖσι Φ (τοῖσιν A), τοῖσι δὲ καὶ μετέπειτα θεὸς Ψ (cf. I 104 τῶν δὴ καὶ μετέπειτα) ἀγορεύσας] ἀγορεὺς A 39 δεῖξε] δεῖξεν codd. τινος] dedi, τοῦ P B, τ' οὗ p, θ' οὗ A, οὗ Ψ, ἑοῦ M. Schmidt (qui etiam ἑνὸς [cf. μόνου Genes. 3, 11 et 17] et μέσου [cf. Genes. 3, 3] coniecit) μὴ ψαῦσαι· τοὺς δὲ] coniecit Alexandre, μὴ ψαυέμεν· τοὺς δὲ Ψ, μὴ ψαύσειν· τοὺς δὲ Φ, μὴ ψαυσέμεν· οὐδ' ἕ M. Schmidt (de futuro cf. I 338), sed cf. VIII 261 40 sq.] cf. VIII 261 sq. ὃν τ' ἐπλάνησεν ὄφις δολίως ἐπὶ μοῖραν ἀπελθεῖν | τοῦ θανάτου γνῶσίν τε λαβεῖν ἀγαθοῦ τε κακοῦ τε τοὺς δὲ . . . ἐπὶ μοῖραν] ἀλλὰ . . . σφ' ἐπὶ μοῖραν anonymus (X) in Hilgenfeldii Theol. Zeitschr. 1861 p. 438 αὐτὸς] αὐτὸν Ψ ἐξαπάτησεν] ἐξηπάτησεν Ψ 42 γυνὴ—γίνετ'] scripsi, γυνὴ πρώτη προδότις γίνετ' Φ Ψ (sed γείνατ' Ψ), γυνὴ πρώτη προδότις γένετ' ἔκιοτ' Hartel, γυνὴ προδότις πρωτίστη γίνετ' Volkmann, γυνὴ πρώτη προδότις τις γίνετ' Castalio (πως pro τις Alexandre), γυνὴ πρώτη προδότειρα ἐγίνετ' Meineke, unde Nauck suspicatus est γυνὴ πρώτη προδοτείρη γίνετ' coll. Epigramm. gr. ex lapid. conlect. ed. Kaibel 312, 1 νὺξ ὑπροδοτείρη 43 τοῦτον δ' ἀδαῆ] τούτῳ δ' ἀδαεῖ Ψ (δ' om. L) ὃς—ἔπεσσι] Opsopoeus, ὃς δ' ἐπέεσσι γυναικὸς Φ, ὅς ῥ' ἐπέεσσι γυναικὸς Ψ πεπειθμένος] ipse correxi, πεπεισμένος Φ Ψ, sed cf. πεπειθμένοι II 266 κεκορυθμένοι I 77 al. ἐξελάθεσκεν] fortasse ἐκλελάθεσκεν scribendum est 45 ἀμέλησεν] ἠμέλησεν Ψ 46] cf. XIV 315 τοῖς κακὸν ἀντ' ἀγαθοῦ δώσει θεός
47 ἀμπείραντες] F, quod iure flagitavit Volkmann, ἐμπείραντες codd. cett. 48 τεύξαντες, ἐπ'] τεύξαντο καὶ Ψ 49 τ'] δ' Ψ 50 τοῖσιν δ'] τοῖσι (τῇσι L) δ' Ψ ἔνθετο] p auctore Opsopoeo (et sic Castalio in margine), ἔθετο Φ Ψ κἄβαλεν] κἄκβαλεν Ψ, καὶ βάλεν Volkmann edidit (in specimine), qui prius κἄβαλεν tuitus erat 51 τόδε] τοῦτο Ψ

I θνητῷ ἐνὶ χώρῳ μεῖναι, ἐπεὶ οὐκ ἐφύλαξαν
ἀθανάτου μεγάλοιο θεοῦ λόγον εἰσαΐσαντες.
οἱ δ' ἄφαρ ἐξελθόντες ἐπὶ ζείδωρον ἄρουραν
δάκρυσι καὶ στοναχαῖς δεύοντο· ἔπειτα δὲ τοῖσιν
ἀθάνατος θεὸς αὐτὸς ἔπος προφερέστερον εἶπεν·
'αὔξεσθε, πληθύνεσθ', ἐργάζεσθ' ἐπὶ γαίης
ἐνδελεχῶς, ἵν' ἔχητε τροφῆς κόρον ἱδρώοντες.'
ὣς φάτο· τῆς δ' ἀπάτης τὸν ἐπαίτιον ἑρπυστῆρα
νηδύι καὶ κενεῶνι ποιήσατο γαῖαν ἐρείδειν
πικρῶς ἐξελάσας· δεινὴν δ' ἔχθραν προΐαψεν
ἐν μέσῳ ἀλλήλων· καὶ ὃ μὲν κεφαλὴν προφυλάσσει
σῳζέμεν, ὃς δὲ πτέρναν, ἐπεὶ θάνατός γε πάρεστιν
πλησίον ἀνθρώπων τε καὶ ἰοβόλων κακοβούλων.
καὶ τότε δὴ γενεὴ πληθύνετο, ὡς ἐκέλευσεν
αὐτὸς ὁ παντοκράτωρ, καὶ αὔξετο ἄλλος ἐπ' ἄλλῳ
λαὸς ἀπειρέσιος. οἴκους δὲ μὲν ἐξήσκησαν
παντοίους ἠδ' αὖτε πόλεις καὶ τείχε' ἐποίουν
εὖ καὶ ἐπισταμένως· οἷσίν τε πολύχρονον ἦμαρ
ὤπασεν ἐς ζωὴν πολυήρατον· οὐ γὰρ ἀνίαις
τειρόμενοι θνῆσκον, ἀλλ' ὡς δεδμημένοι ὕπνῳ.
ὄλβιστοι μέροπες μεγαλήτορες, οὓς ἐφίλησεν

57] Genes. 1, 28 (cf. 8, 18; 9, 1) 58] Genes. 3, 19 59—64] Genes. 3, 14, sq. 65] Genes. c. 4 et 5 65—124] cf. Hesiod. Oper. 109—201; Henoch 6 sqq.

52 *θνητῷ ἐνὶ χώρῳ] ipse temptavi coll. I 215, 356 et Arat. 1019 αὐτῇ ἐνὶ χώρῃ Kaibel Epigramm. gr. ex lapid. conl. 330, 6 (= C. I. G. 2211) Λέσβῳ ἐνὶ χώρῳ (eadem versus sede); θνητοῖς ἐν χώρῳ A, θνητοῖς ἐν χώρᾳ P B, θνητοῖσιν ἐν χώρᾳ Ψ, ἐν θνητῷ χώρῳ Volkmann praeeunte Castalione, qui in margine addidit 'f. (fortasse) ἐν θνητῇ (χώρᾳ)', θνητοῖσι(ν) χωρὶς Opsopoeus, θνητῶν ἐν χώρῳ suspicatus est Friedlieb* 53 *ἀθανάτου] ἀθανάτοιο Φ εἰσαΐσαντες] Alexandre, cf. I 171 εἰσαΐοντες, I 354 εἰσαΐσουσι; ἀίσαντες Φ, ἀείσαντος Ψ; εἰσαΐοντες Turnebus et Auratus ex I 171, ex Ψ fortasse ἀΐσαντος scribendum esse censuit Meineke (sed cf. LXX Genes. 3, 8 καὶ ἤκουσαν τῆς φωνῆς κυρίου τοῦ θεοῦ); αἰὲν ἐόντος Opsopoeus coniecit* 54 *ἐπὶ—ἄρουραν] = IV 45*
55 *στοναχαῖς] στοναχαῖσι Ψ δεύοντο] δάοντο P, δεύοντο γαῖαν Ψ ἔπειτα δὲ τοῖσιν] τοῖσι δ' ἔπειτα Ψ* 56 *θεὸς αὐτὸς] Castalio, αὐτὸς θεὸς Φ Ψ ἔπος—εἶπεν] Opsopoeus, ἐπὶ προφερέστερον εἶπεν Φ Ψ, ἔπη προφερέστερ' ἔειπεν primitus scriptum fuisse censuit Volkmann* 57 *αὔξεσθε, πληθύνεσθ'] αὐξάνεσθε, πληθύνεσθε καὶ Ψ, αὔξετε (= αὔξεσθε coll. scriptura codicum αὔξανεν I 66), πληθύνεσθε Meineke, πληθύνεσθ', αὔξεσθε καὶ Volkmann. sed cf. LXX Genes. 8, 18; 9, 1, 7 et Orac. Sib. I 272 αὐξόμενοι πληθυνόμενοι* 58 *ἐνδελεχῶς] Alexandre, ἐντεχνέως Φ, ἐντέχνως Ψ, (an συνεχέως velut I 108?)* 59 *ἐπαίτιον] ὑπαίτιον Ψ* 60 *ἐρείδειν] ἐφέρπειν (coll. Genes. 3, 14) Volkmann*
63 *σῳζέμεν] scripsi, σώζειν Φ Ψ ὃς δὲ] ὁ δὲ Ψ* 64 *τε] addidi, om. Φ Ψ* 66 *αὐτὸς ὁ παντοκράτωρ] = II 220 VIII 82 XI 8, cf. II 330 τοῖς καὶ ὁ παντοκράτωρ αὔξετο] ipse scripsi, an αὐξάνετ'? (cf. 65 πληθύνετο), αὔξανεν Φ Ψ* 67 *ἀπειρέσιος] ἀπειρεσίων Ψ οἴκους—παντοίους] cf. I 91 sq. τέχνας δὲ μὲν ἐξήσκησαν | παντοίας* 68 *ἠδ'] Ψ, ἤδ' A B, οἱ δ' P πόλεις καὶ τείχε'] an πύλας καὶ τείχε' ex Hom. Δ 34 X 99, 503?*
69 *οἷσίν τε πολύχρονον] Meineke, qui etiam οἷσιν πουλύχρονον suspicatus est; οἷσιν πολυχρόνιον Φ Ψ (sed οἷσι A Ψ)* 70 *ἐς] εἰς Φ Ψ* 71 *θνῆσκον—ὕπνῳ] cf. I 301 θνῆξονθ' ὡς ὕπνῳ βεβολημένοι* 72 *ὄλβιστοι] ipse temptavi, ὄλβιοι οἳ (οἱ P) Φ, ὄλβιοι Ψ*

I σωτὴρ ἀθάνατος βασιλεὺς θεός. ἀλλὰ καὶ αὐτοὶ
ἤλιτον ἀφροσύνῃ βεβολημένοι. οἳ γὰρ ἀναιδῶς
ἐξεγέλων πατέρας καὶ μητέρας ἠτίμαζον,
γνωστοὺς δ' οὐ γίνωσκον ἀδελφειῶν ἐπίβουλοι.
ἦσαν δ' ἄρ μιαροὶ μεμορυγμένοι αἵματι φωτῶν
καὶ πολέμους ἐποίουν. ἐπὶ δ' αὐτοὺς ἤλυθεν ἄτη
ὑστάτη οὐρανόθεν βεβολημένη, ἣ βιότοιο
δεινοὺς ἐξεῖλεν· τοὺς δ' αὖθ' ὑπεδέξατο Ἅιδης·
Ἅιδην δ' αὖτ' ἐκάλεσσαν, ἐπεὶ πρῶτος μόλεν Ἀδὰμ
γευσάμενος θανάτου, γαίη δέ μιν ἀμφεκάλυψεν.
τοὔνεκα δὴ σύμπαντες ἐπιχθόνιοι γεγαῶτες
ἀνέρες εἰν Ἀίδαο δόμοις ἰέναι καλέονται.
ἀλλ' οὗτοι πάντες καὶ εἰν Ἀίδαο μολόντες
τιμὴν ἔσχηκαν, ἐπεὶ ἦ πρῶτον γένος ἦσαν.
  αὐτὰρ ἐπεὶ τούτους ὑπεδέξατο, δεύτερον αὖτις
[τῶν καταλειφθέντων τε δικαιοτάτων ἀνθρώπων]
ἄλλο γένος τεῦξεν πολυποίκιλον, οἷς ἐμεμήλει
ἔργ' ἐρατὰ σπουδαί τε καλαὶ καὶ ὑπείροχος αἰδὼς
καὶ πυκινὴ σοφίη· τέχνας δὲ μὲν ἐξήσκησαν
παντοίας εὑρόντες ἀμηχανίας ἐπινοίας.
καί τις μὲν γαίην ἀρότροις ἐξεῦρε γεωργεῖν,
ἄλλος τεκταίνειν, ἄλλῳ δὲ πλέειν μεμέλητο,
ἄλλῳ δ' ἀστρονομεῖν καὶ ὀνειροπολεῖν πετεηνά,

92 sq.] cf. Henoch 8, 1 (apud G. Syncellum) p. 82 Dillmann 95 sq.] Henoch 8, 3 (apud G. Syncellum) p. 83 Dillmann

75 ἐξεγέλων] *οὓς ἐγέλων in alio poeta correxisset Meineke* 76 γνωστοὺς] *χριστοὺς L, γνωτοὺς (fratres) Meineke* οὐ γίνωσκον] *Turnebus*, οὐκ ἐγίνωσκον Φ Ψ ἀδελφειῶν] ἀδελφεῶν Ψ 77 δ' ἄρ μιαροὶ] δ' ἅ μιαροὶ *(sic) P*, ἄρα μιαροί Ψ μεμορυγμένοι αἵματι] *anonymus Paris. assentientibus Volkmanno et Nauckio*, κεκορυθμένοι αἵματι Φ Ψ, μεμορυσμένοι αἵματι *Auratus*, κεκορυθμένοι αἵματα *(scil. ἐποίουν) Meineke coll. versu sequente et II 257* ἠδὲ φόνους ἐποίησαν 78 ἐπὶ—ἄτη] *Auratus, cf. XI 11* ἐπ' αὐτοὺς δ' ἤλυθεν ὀργή; ἴσση (ἴση Ψ) δ' αὐτοῖς ἤλυθεν ἄτη Φ Ψ; ἐπὶ δ' αὐτοῖς ἤλυθεν ἄτη *Alexandre*[2], αὐτοῖς δ' ἴση ἤλυθεν ἄτη *Boissonade (et Volkmann)*, ἴση αὐτοῖς δ' (ἤλυθεν ἄτη) *Castalio in margine* 79 βεβολημένη] βεβολημένοι Φ ἣ] *Opsopoeus*, ἡ Φ, καὶ Ψ 80 αὖθ'] *ipse correxi*, αὖ Φ Ψ 81 Ἅιδην] αἵδην *P* αὖτ' ἐκάλεσσαν] (ἐκάλεσαν *F*, αἰκάλεσσαν *L*) Ψ, αὖτε κάλεσσαν Φ 82 γαίη δέ μιν] *Volkmann et Meineke (cf. I 297 et Hilberg. Silbenwäg. 95)*, γαῖα δέ μιν Φ Ψ, καὶ γαῖά μιν? *Badt* 83 σύμπαντες] *Nauck*, πάντες οἱ Φ, πάντες Ψ, πάντες γ' οἱ *suspicatus est Badt* 84 εἰν] ἐν Ψ καλέονται] κελέονται *Meineke* 85 sq.] *cf. I 302* εἰν Ἀίδαο δόμοις ἀπελεύσονται καὶ ἐκεῖσε | τιμὴν ἕξουσιν καὶ—μολόντες] = *I 306* μολόντες] *Alexandre*, μολοῦντες Φ Ψ 86 ἔσχηκαν—πρῶτον] *ipse dedi Volkmanni coniectura* ἐπεὶ *recepta*, ἔσχηκαν, καὶ ἐπὶ πρῶτον Φ Ψ, ἔσχηκαν, καὶ ἐπεὶ πρῶτον *Hartel; vix scribendum* ἐσχήκασιν, ἐπεὶ πρῶτον 88] *ut interpolatum uncis inclusi, cf. I 121* καταλειφθέντων] καταληφθέντων *A* τε] γε *anonymus Paris.* 89 τεῦξεν] ἔτευξε Ψ πολυποίκιλον] *an* πάλι ποικίλον? 90 ἐρατὰ] ἐραστὰ Ψ 91 δὲ μὲν] γε μὲν *Auratus, sed cf. I 67* 92 ἀμηχανίας ἐπινοίας] *Turnebus*, μηχανίαις ἐπινοίαις Φ, ἀμηχανίας ἐπινοίαις Ψ, ἀμηχανίης ἐπινοίαις *anonymus Londin. (et Volkmann)* 95 ὀνειροπολεῖν] ὀνειροπωλεῖν *F* πετεηνά] *ipse scripsi*, τὰ πετεινά Φ Ψ

1 φαρμακίη δ' ἄλλῳ, αὐτὰρ μαγικὴ πάλιν ἄλλῳ·
ἄλλοι δ' ἄλλα ἕκαστα μεμηλότα τεχνώοντο,
γρήγοροι ἀλφηστῆρες ἐπωνυμίης μετέχοντες
ταύτης, ὅττι μετὰ φρέσ' ἀκοίμητον νόον εἶχον
ἄπλητόν τε δέμας· στιβαροὶ μεγάλῳ ἐπὶ εἴδει
ἦσαν· ὅμως δ' ἔμολον ὑπὸ ταρτάριον δόμον αἰνὸν
δεσμοῖς ἀρρήκτοις πεφυλαγμένοι ἐξαποτῖσαι
ἐς γέεναν μαλεροῦ λάβρου πυρὸς ἀκαμάτοιο.
  τῶν δὴ καὶ μετέπειτα πάλιν γένος ὀβριμόθυμον
ἐξεφάνη τρίτατον, τό γ' ὑπερφιάλων ἀνθρώπων
δεινῶν, οἳ κακὰ πολλὰ παρὰ σφίσιν ἐξεπονοῦντο.
καὶ τούσδ' ὑσμῖναί τ' ἀνδροκτασίαι τε μάχαι τε
συνεχέως ὀλέκεσκον ὑπέρβιον ἦτορ ἔχοντας.
  ἐκ τῶν δὴ μετὰ ταῦτα κατήλυθεν ὀψιτέλεστον
ὁπλότατον γένος ἄλλο μιαιφόνον ἀκριτόβουλον
ἀνδρῶν ἐν τετράτῃ γενεῇ· οἳ πολλὰ χέεσκον
αἵματα οὔτε θεὸν δειδιότες οὔτ' ἀνθρώπους
αἰδόμενοι· μάλα γάρ τοι ἐπ' αὐτοῖσιν βεβόλητο
οἰστρομανὴς μῆνις καὶ δυσσεβίη ἀλεγεινή.
καὶ τοὺς μὲν πόλεμοί τ' ἀνδροκτασίαι τε μάχαι τε
εἰς ἔρεβος προΐαψαν ὑπερθύμους περ ἐόντας

98] οἱ ἐγρήγοροι Henoch l. c.

97 ἄλλοι] ἄλλοις *malit Alexandre* μεμηλότα] *Volkmann*, μεμηλότε Φ (*sic etiam P*, *non* μεμηλότα, *sicut Volkmann legit*), μεμηνότες Ψ τεχνώοντο] τεχνώοντι *P*, ἐτεχνώοντο Ψ 98 ἀλφηστῆρες] ἀμφιστῆρες Φ 99 ταύτης—ἀκοίμητον] *scripsi*, ταύτης, ὅττι φρασὶν ἀκύμαντον *B*, ταύτης, ὅττι φασὶν ἀκύμαντον *P*, ταύτης, ὅττι φρεσσὶν (φρεσὶν *R*) ἀκύμαντον *A* Ψ, ταύτης. ὅττι ἐνὶ φρέσ' ἀκύμαντον *anonymus Londin.*, ταύτης. ὅττι φραδαῖσιν ἀκύμαντον (= πολυκύμαντον) *Meineke*, τοιαύτης, ὅτι, φασίν, ἀκοίμητον (*hanc vocem e viri cuiusdam docti coniectura*) *Alexandre* 100 ἄπλητον] *sic Hesiodi Theog. 153 codd. optimi, correxit Opsopoeus*, ἄπληστον Φ Ψ στιβαροὶ—εἴδει] *ex Hesiodi l. c. restitui*, στιβαροὶ μεγάλοι τ' ἐπὶ εἴδει Φ Ψ 101 ἦσαν·—ἔμολον] *ipse scripsi*, ἦσαν· ὁμῶς δ' ἐμόλοντ' *Auratus proposuit*, ἦσαν ὁμῶς· ἔμολον δ' *Opsopoeus*, ἦσαν ὁμόσσε μόλον Φ. ἦσαν· μόλον δ' Ψ 102 ἀρρήκτοις] ἀρήκτοις Ψ πεφυλαγμένοι ἐξαποτῖσαι] = *I 180* 103 ἐς] εἰς *codd.* γέεναν] γέενναν *A*, γένναν Ψ μαλεροῦ] μαλεροῖο *suspicatus est Alexandre in Cur. poster.*, μεγαλόρροιο Ψ λάβρου] λαύρου Φ 104 ὀβριμόθυμον] ὀμβριμόθυμον Φ 105 τρίτατον, τό γ'] *Hartel*, τρίτατόν γε (τρίτος τόν γε, δ' *post* τρίτος *deleto P*) Φ. τρίτατον Ψ 106 οἳ—ἐξεπονοῦντο] *cf. I 122* ἐπεὶ ἡ κακὰ πόλλ' ἐπονοῦντο κακὰ πολλὰ] *Castalio transposuit*, πολλὰ κακὰ Φ Ψ παρὰ] πὰρ *A*, περὶ Ψ 107 ὑσμῖναι] *Alexandre, cf. Hom. λ 612 Hesiod. Theog. 228*, ὑσμίνη (ἡ μήνη *A*) Φ Ψ τ'] *addidit Opsopoeus, om.* Φ Ψ τε μάχαι τε] τ' ἀλεγειναί Ψ *ex I 114* 108 ὀλέκεσκον] *ipse correxi ex Hom. T 135, (ubi libri meliores servarunt* ὀλέκεσκεν, *deteriores vero eandem exhibent corruptelam* ὤλεσκεν). ὤλεσκον Φ Ψ ὑπέρβιον—ἔχοντας] *cf. I 312* 110 γένος ἄλλο] *Castalio*, ἄλλο γένος Φ Ψ *ex I 120* 111 ἐν τετράτῃ γενεῇ] ἡ τετράτη γενεή *suspicatus est Hartel* τετράτῃ] τετάρτη Φ 112 δειδιότες] δεδιότες (*addito* γ' *L*, τ' *R*) Ψ. δεδοικότες *Nauck* 113 αἰδόμενοι] αἰδούμενοι Ψ τοι] *Opsopoeus*, οἱ Φ Ψ αὐτοῖσιν] αὐτοῖσι *A* Ψ βεβόλητο] ἐόλητο *Meineke, cui recte adversatus est Ludwich coll. I 79, 150 XI 12* 114 οἰστρομανὴς] οἰστρομανὶς Φ 115 πόλεμοί τ'] πόλεμοί τε *P* 116 ὑπερθύμους] *ipse temptavi, cf. Hesiodi Op. 154* ἐκπάγλους, ὀϊζυρούς Φ Ψ

I ἄνδρας δυσσεβέας. τοὺς δ' αὖ μετόπισθε χόλοισιν
οὐράνιος θεὸς αὐτὸς ἑοῦ μετεθήκατο κόσμου
Ταρτάρῳ ἀμφιβαλὼν μεγάλῳ ὑπὸ πυθμένι γαίης.
καὶ πάλιν ἄλλο γένος πολὺ χειρότερον μετόπισθεν
[ἀνδρῶν ποίησας, τοῖς οὐκ ἀγαθὸν μετέπειτα]
ἀθάνατος τεῦξεν, ἐπεὶ ἦ κακὰ πόλλ' ἐπονοῦντο.
οἵ γὰρ ὑβριστῆρες πολλῷ πλέον ἠέ γ' ἐκεῖνοι,
Γίγαντες σκολιοὶ μιαρῶς δύσφημα χέοντες.
μοῦνος δ' ἐν πάντεσσι δικαιότατος καὶ ἀληθὴς
ἦν Νῶε πιστότατος καλοῖς τ' ἔργοισι μεμηλώς.
καὶ τῷ μὲν θεὸς αὐτὸς ἀπ' οὐρανόθεν φάτο τοῖα·
'Νῶε, δέμας θάρσυνον ἑὸν λαοῖσί τε πᾶσιν
κήρυξον μετάνοιαν, ὅπως σωθῶσιν ἅπαντες.
ἢν δέ μευ οὐκ ἀλέγωσιν ἀναιδέα θυμὸν ἔχοντες,
πᾶν γένος ἐξολέσω μεγάλοις ὑδάτων κατακλυσμοῖς.
σοὶ δ' ὦκ' ἐν ῥίζῃσιν ἀδιψήτοισι τεθηλὸς
δουράτεον κέλομαι δῶμ' ἄφθιτον ἀσκήσασθαι.
θήσω δ' ἐν στήθεσσι νόον, πυκινὴν δέ τε τέχνην
καὶ μέτρον καὶ κόσμον· ἐμοὶ δέ τε πάντα μελήσει,
ὥς τέ σε σωθῆναι καὶ ὅσοι σὺν σοὶ ναίουσιν.

124 sq.] Genes. 6, 4—6 125] Genes. 6, 9 128—131] Genes. 6, 13 132—135] Genes. 6, 15 sq.

129] cf. Theophilum ad Autol. III 19 = p. 232 Otto: ... *Νῶε καταγγέλλων τοῖς τότε ἀνθρώποις μέλλειν κατακλυσμὸν ἔσεσθαι προεφήτευσεν αὐτοῖς λέγων· 'δεῦτε, καλεῖ ὑμᾶς ὁ θεὸς εἰς μετάνοιαν'*

118 αὐτὸς] αὐτοὺς Ψ μετεθήκατο] μεθεήκατο *anonymus Paris. coniecit* 120 χειρότερον] *supra* ει *eadem manu* οι *P* 121] *versum, quem melius afuturum esse recte monuit anonymus Paris., spurium duco* ἀνδρῶν—τοῖς] *fortasse legendum esse suspicatus est Volkmann,* ἀνθρώπων ποιήσας Φ, ἀνθρώπων ποίησεν οἷς Ψ, ἀνθρώπων ποίησ', οἷς *Alexandre,* ἀνθρώπων ποίησε καὶ *Auratus* 122 ἀθάνατος—ἦ] *coniecit Alexandre (cf. I 238, 303),* ἀθάνατος τεῦξεν, ἐπεὶ Ψ, ἀθάνατος θεὸς τεῦξεν, ἐπεὶ Φ, ἀθάνατος θεὸς εὗρεν, ἐπεὶ *Opsopoeus* πόλλ' ἐπονοῦντο] πόλλ' ἐπενοοῦντο *P,* πολλὰ πένοντο *Turnebus, sed cf. I 106* 123 ἠέ γ' ἐκεῖνοι] *ipse temptavi,* ἢ ὅτ' ἐκεῖνοι (ὅτε κεῖνοι *F*) Φ Ψ, ἤ περ ἐκεῖνοι *Meineke (nisi versus exciderit),* ἤ ποτ' ἐκεῖνοι *Volkmann,* ἠέτ' ἐκεῖνοι *Nauck coll. Hom. Δ 277; ceterum hic vir doctus fortasse nihil mutandum esse censuit coll. Hom. B 394* ὡς ὅτε 124 Γίγαντες] Τιτῆνες *substituere voluit Nauck, cui* ι *longa in vocabulo illo suspecta videbatur, sed cf. II 232* ἠδέ τε Γιγάντων *(quamvis etiam* χερσὶ γιγαντείῃσι *legatur VIII 100)* δύσφημα χέοντες] = *I 178 II 258* 126 Νῶε] νόε *L* πιστότατος] πιστώτατος *supra* ω *scripto* ο *A* μεμηλώς] *de dativo cum hoc participio apud poetas serioris aetatis coniuncto exposuit Nauck Mél. Gréco-Rom. IV 585* 129 κήρυξον μετάνοιαν] *transposuit Opsopoeus,* μετάνοιαν κήρυξον Φ Ψ 130 ἢν δέ μευ] *Nauck (an* μέ' = μέο*?), fortasse vero* σευ *scribendum est;* ἢν δέ γε Φ Ψ, ἢν δ' οὔ γ' *Turnebus* ἀναιδέα—ἔχοντες] = *III 40* 132] *cf. I 185 III 403* ἀέναον ῥίζαις ἐν ἀδιψήτοισι τεθηλός δ' ὦκ'] δ' ὦκ' *P,* δὲ ᾧ *A* ἐν—ἀδιψήτοισι] *Turnebus, cf. I 185 III 403,* ἐκ ῥίζης τίν' ἀδιψήτοιο Φ, ἐκ ῥίζης γε ἀδιψήτοιο Ψ (γε *om. L*), ἐκ ῥίζης τί γ' ἀδιψήτοιο *Volkmann* 133 δῶμ'] *Opsopoeus correxit,* δῶμα Ψ, δόμον Φ 134 δέ τε] δέ σε Ψ 135 καὶ μέτρον] *Opsopoeus,* καὶ μέτρα Φ Ψ καὶ κόσμον] *Klouček, cf. Hom. ϑ 492* ἵππου κόσμον ἄεισον | δουρατέου, καὶ κόλπον Φ Ψ, (καὶ μέτρα) κατὰ κόλπον *Volkmann* δέ] *A, om. codd. cett.* 136 σε] *om. B* Ψ

εἰμὶ δ' ἐγὼ ὅ γ' ἐών, σὺ δ' ἐνὶ φρεσὶ σῇσι νόησον,
οὐρανὸν ἐνδέδυμαι, περιβέβλημαι δὲ θάλασσαν,
γαῖα δέ μοι στήριγμα ποδῶν, κέχυται περὶ σῶμα
ἀὴρ ἠδ' ἄστρων με χορὸς περιδέδρομε πάντῃ.
ἐννέα γράμματ' ἔχω· τετρασύλλαβός εἰμι· νόει με.
αἱ τρεῖς αἱ πρῶται δύο γράμματ' ἔχουσιν ἑκάστη,
ἡ λοιπὴ δὲ τὰ λοιπὰ καί εἰσιν ἄφωνα τὰ πέντε·
τοῦ παντὸς δ' ἀριθμοῦ ἑκατοντάδες εἰσὶ δὶς ὀκτὼ
καὶ τρεῖς τρὶς δεκάδες σύν γ' ἑπτά. γνοὺς δὲ τίς εἰμι
οὐκ ἀμύητος ἔσῃ τῆς παρ' ἐμοὶ σοφίης.'
ὣς φάτο· τὸν δὲ τρόμος λάβε μυρίος, οἷον ἄκουσεν.
καὶ τότε δὴ νοερῶς τεχνησάμενος τὰ ἕκαστα
λαοὺς ἐλλιτάνευε, λόγων δ' ἐξήρχετο τοίων·
'ἄνδρες ἀπληστόκοροι, μεγάλῳ βεβολημένοι οἴστρῳ,
οὐ λήσει θεὸν ὅσσ' ἐπράξατε· πάντα γὰρ οἶδεν
ἀθάνατος σωτὴρ πανεπίσκοπος, ὅς μ' ἐκέλευσεν
ἀγγέλλειν ὑμῖν, ἵνα μὴ φρεσὶν ἐξαπόλησθε.
νήψατε, τὰς κακίας ἀποκόψατε, μηδὲ βιαίως
ἀλλήλοις μάρνασθε μιαιφόνον ἦτορ ἔχοντες,
αἵμασιν ἀνδρομέοις πολλὴν χθόνα ἀρδεύοντες.
αἰδέσθητε, βροτοί, τὸν ὑπερμεγέθη καὶ ἄτρεστον
οὐράνιον κτιστήν, θεὸν ἄφθιτον, ὃς πόλον οἰκεῖ,
καὶ τοῦτον πάντες λιτανεύσατε, χρηστὸς ὑπάρχει,

138 sq.] Es. 66, 1, cf. Psalm. 103, 2 149 sqq.] cf. Ioseph. Flav. Antiquit. Iud. I 3, 1 = vol. I p. 17, 23 sq. Niese

137 ἐγὼ] ἔγωγε Ψ ὅ γ'] Volkmann, ὁ Φ Ψ ἐών] Castalio, ὢν Φ Ψ σὺ δ'—νόησον] = I 330 139] om. Ψ κέχυται περὶ σῶμα] Volkmann, περὶ σῶμα κέχυται Φ, περὶ σῶμα κέχυνται (a χύνω derivandum) Meineke 140 ἀὴρ] Alexandre, ἀὴρ δ' Φ Ψ, quod tuebatur Volkmann χορὸς] χωρὸς (o supra ω) A περιδέδρομε] περιδέδραμαι Ψ πάντῃ] πάντα A Ψ 143 ἡ λοιπὴ] ἡ λοιποὶ P, αἱ λοιπαὶ B τὰ πέντε] δὲ πέντε Alexandre 144 ἀριθμοῦ] ἀριθμὸς Ψ 145 τρὶς δεκάδες] τρισκαιδεκάδες Ψ σύν γ' ἑπτά] Φ (sed P σὺν γὰρ ἑπτά), σὺν τοῖς ἑπτὰ Ψ, σὺν τοῖς δυσὶ (vel δισσοῖς) Alexandre, ut expleatur solutio aenigmatis a Cantero proposita θεὸς σωτήρ, quibus litteris satisfacit numerus 1692 146] pentameter aenigma claudit, ut saepe in epigrammatis, cf. Epigr. gr. ex lapid. conl. ed. Kaibel n. 609, 610, 614, 708, 156, 309, 316, 356 al. παρ' ἐμοὶ] παρ' ἐμοῦ Ψ 147 τρόμος] πόνος A λάβε μυρίος] μυρίος λάβε(ν) Ψ 148 τεχνησάμενος] τεχνασάμενος Ψ τὰ] om. Ψ 149 ἐλλιτάνευε] Opsopoeus correxit, cf. Hom. X 414, λιτάνευε Φ Ψ 150 ἀπληστόκοροι] Turnebo praeeunte emendavi ex XIV 5, 20: ἀπιστόκοροι Φ Ψ 151 λήσει] λήσεται (λήσετε R) Ψ ὅσσ' ἐπράξατε] ὅσσον ἐπράξατε Volkmann 152 ἀθάνατος—πανεπίσκοπος] cf. II 177 ὕψιστος πάντων πανεπίσκοπος V 351 αὐτὸν ἄνακτα θεὸν πανεπίσκοπον 153 ἐξαπόλησθε] ἐξαπολῆσθε Φ Ψ, correxit Alexandre, ἐξαπατᾶσθε Auratus 154 ἀποκόψατε] aut ἀπορίψατε coll. I 338 aut ἀπορύψατε scribendum esse censuit Nauck 156] cf. VII 47 αἵματι δ' ἀνδρομέῳ πολλὴν χθόνα φυρήσουσιν XI 60 Αἴγυπτος δάκρυσιν πολλὴν χθόνα ἀρδεύσειεν (sic Nauck) XI 310 καὶ δάκρυσιν βροτέοις ἤρδευσας ἀρούρας χθόνα ἀρδεύοντες] Nauck e ll. cc., γαῖαν ἀρδεύοντες Φ Ψ, γῆν ἀρδεύοντες Turnebus, γαῖαν δεύοντες Meineke 158 θεὸν—οἰκεῖ] cf. Fragm. I 11 θεὸν ἄμβροτον, ὃς πόλον οἰκεῖ

I τοῦτον ὑπὲρ ζωῆς πόλεων κόσμοιό τε παντὸς
τετραπόδων πτηνῶν θ᾽, ὡς ἵλεως ἔσσεθ᾽ ἅπασιν.
ἔσται γὰρ ὅτε κόσμος ὅλος ἀπερείσιος ἀνδρῶν
ὕδασιν ὀλλύμενος φοβερὴν ὀλολύξετ᾽ ἀυτήν.
ἔσται δ᾽ ἐξαπίνης ἀὴρ ἀκατάστατος ὑμῖν
καὶ χόλος οὐρανόθεν μεγάλου θεοῦ ἥξει ἐφ᾽ ὑμᾶς.
ἔσται δ᾽ ἀτρεκέως, ὅτ᾽ ἐς ἀνθρώπους προϊάψει
σωτὴρ ἀθάνατος, ἣν μὴ θεὸν ἱλάσκησθε
καὶ μετάνοιαν ἔχητ᾽ ἀπὸ νῦν· καὶ μηκέτι μηδὲν
δύσκολον ἠὲ κακόν γ᾽ ἀθεμίστως ἄλλος ἐπ᾽ ἄλλῳ
πράξει᾽, ἀλλ᾽ ὁσίῳ βιότῳ πεφυλαγμένος εἴη.᾽
οἳ δέ μιν εἰσαΐοντες ἐμυκτήριζον ἕκαστος
ἔκφρονα κικλήσκοντες, ἀτὰρ μεμανημένον ἄνδρα.
καὶ τότε δ᾽ αὖ πάλιν αὖτις ἀνίαχε Νῶε ἀοιδήν·
‛ὦ μέγα δείλαιοι κακοήτορες ἄστατοι ἄνδρες,
αἰδοίην προλιπόντες, ἀναιδείην ποθέοντες,
ἁρπαλέοι τε τύραννοι ἁμαρτωλοί τε βίαιοι,
ψεῦσται ἀπληστόκοροι κακοπράγμονες οὐδὲν ἀληθεῖς
λεκτροκλόποι θ᾽ εὐρεσσίλογοι δύσφημα χέοντες,

162] cf. Genes. 6, 17

160 πόλεων] πολλῶν *maluit Auratus* 161 τετραπόδων—ὡς] *Castalio (sed* τ᾽, *quod correxit Volkmann)*, τετραπόδων τε πτηνῶν, ὡς Φ, τετραπόδων τε πτηνῶν, ἵν᾽ Ψ, *unde* τετραπόδων πτηνῶν τε, ἵν᾽ *Alexandre* ἵλεως] ἵλεος *(vel* ἵλαος*) Auratus (postque eum Nauck)* ἔσσεθ᾽ ἅπασιν] ἔσσετ᾽ ἅπασιν *PB*, ἔσται πᾶσιν Ψ 162 ἔσται γὰρ ὅτε] ἔσται γὰρ τότε *Meineke* ἔσται] ἔσσεται *F*, ἔστε τε *L R* κόσμος ὅλος ἀπερείσιος ἀνδρῶν] *cf. I 189 II 21* κόσμος ὅλος περ ἀπειρεσίων ἀνθρώπων ἀπερείσιος] ἀπειρέσιος Ψ ἀνδρῶν] ἄρδην *Auratus, sed cf. ll. cc.* 163 φοβερὴν] *suspicatus est Alexandre*, φοβερὰν δ᾽ Φ Ψ; δ᾽ *Opsopoeus sustulit, retinuit Volkmann* ὀλολύξετ᾽] Ψ, ὀλολύξατ᾽ Φ 163 ἀυτήν] *anonymus Londin. (et Meineke)*, ἀοιδήν Φ Ψ 164 ἔσται δ᾽ ἐξαπίνης] *cf. I 344* ἔσσεται ἐξαπίνης *XIII 86, 108* ἔσσοντ᾽ ἐξαπίνης ἀκατάστατος] ἀκρακάταστος *L* 166 ἔσται—ἐς] ἥξει δ᾽ ἀτρεκέως, ὃν ἐς *Alexandre (in Cur. poster. ad XI 206) coll. XI 205 sq., ubi* ἔρχεται *similiter iteratur* 167 ἣν] *Ludwich*, ἂν Φ Ψ ἱλάσκησθε] *Ludwich*, ἱλάξησθε Φ Ψ, ἱλάσσησθε *Meineke* 168 ἔχητ᾽] ἔχετ᾽ Φ ἀπὸ νῦν] ἀπὸ τοῦ νῦν Ψ; *post hoc vocabulum colo interpunxi* 169 κακόν γ᾽] Φ, κακόν τ᾽ Ψ ἀθεμίστως] Φ, ἀθεμίστατον Ψ 170 πράξει᾽] *ipse temptavi*, πράττει Φ Ψ, πράττῃ *anonymus Londin.* ὁσίῳ βιότῳ] ὅσιος βίοτος *Opsopoeus* εἴη] ἦσιν *Volkmann* 171 εἰσαΐοντες] εἰσακούοντες Ψ 172 κικλήσκοντες] κυκλήσκοντες *P* ἄνδρα] ἄνερα *P* 173 καὶ—αὖτις] *an* καὶ τότε δὴ πάλιν αὖτις? αὖτις] *Turnebus*, αὖθις Ψ, *om.* Φ; *pro* πάλιν αὖτις *fortasse* πάλι τοῖσιν *substituendum esse censuit Turnebus, lacunae signum posuit post* πάλιν *(in specimine) Volkmann* ἀνίαχε] ἀνίαχεν Φ Ψ 175—178] *cf. VIII 184—187* 175 αἰδοίην προλιπόντες] αἰδῶ νῦν προλιπόντες *Turnebus*, αἰδῶ ἐκπρολιπόντες *anonymus Londin., sed cf. VIII 184* ἀναιδείην ποθέοντες] = *IV 36* ἀναιδείην] ἀναιδίην Ψ 176 ἁρπαλέοι τε τύραννοι] *Turnebus*, ἁρπασιαῖοι τύραννοι Φ Ψ, ἁρπάγιμοί τε τύραννοι *Auratus*, ἁρπαγιμαιοτύραννοι *coll. Hegesandro apud Athen. IV 162 Meineke*, ἅρπαγες ἠδὲ *(vel* ἠὲ*)* τύραννοι *Alexandre*[2], ἁρπασμοῖσι τύραννοι *Volkmann; VIII 185 legitur* ἀστασίῃσι τύραννοι *in codd.* 177 ἀπληστόκοροι] *ipse emendavi, cf. ad I 150;* ἀπιστόκοροι Φ Ψ *(hariolatur Gallaeus, qui in suo codice* ἀπιστόφυλοι *[cf. VIII 186] se legisse dicit)* οὐδὲν ἀληθεῖς] οὐδὲ ἀληθεῖς Φ 178 εὐρεσσίλογοι] εὐρεσσίλοχοι *coniecit Auratus* δύσφημα χέοντες] = *I 124 II 258*

I οὐ μήνιμα θεοῦ δειδιότες ὑψίστοιο,
ἐς γενεὴν πέμπτην πεφυλαγμένοι ἐξαποτῖσαι.
οὐ κλαίετ' ἄλλυδις ἄλλον, ἀπηνέες, ἀλλὰ γελᾶτε·
σαρδόνιον μείδημα γελάσσετε, ὁππότ' ἂν ἥξει
τοῦθ', ὃ λέγω, τὸ θεοῦ φοβερὸν καὶ ἐπήλυτον ὕδωρ,
ὁππότε κεν Εὔης μιαρὸν γένος ἐν χθονὶ δίῃ
ἀέναον ῥίζαις ἐν ἀδιψήτοισι τεθηλὸς
αὐτόπρεμνον ἄιστον ἰῇ ἐνὶ νυκτὶ γένηται,
αὐτάνδρους δὲ πόλεις σεισίχθων ἐννοσίγαιος
κευθμῶνος γαίης σκεδάσει καὶ τείχεα λύσει.
καὶ τότε κόσμος ὅλος περ ἀπειρεσίων ἀνθρώπων
θνήξεται. αὐτὰρ ἐγὼ πόσα πενθήσω, πόσα κλαύσω
οἴκῳ δουρατέῳ, πόσα δάκρυα κύμασι μίξω;
ἢν γὰρ ἐπέλθῃ τοῦτο θεοῦ κεκελευσμένον ὕδωρ,
πλεύσει γῆ, πλεύσειε δ' ὄρη, πλεύσει δὲ καὶ αἰθήρ,
ὕδωρ ἔσται ἅπαντα καὶ ὕδασι πάντ' ἀπολεῖται.
στήσονται δ' ἄνεμοι καὶ δεύτερος ἔσσεται αἰών.
ὦ Φρυγίη, πρώτη δ' ἀναδύσεαι ὕδατος ἄκρου·
πρώτη δ' αὖ θρέψεις γενεὴν ἑτέρην ἀνθρώπων

179] *cf. VIII 183* οὐ μήνιμα θεοῦ δειδιότες. οὐδ' ἀνθρώπων   οὐ μήνιμα] *ipse dedi ex l. c.*, οὐκ ὀργήν τε (δὲ *Alexandre*) Φ Ψ   δειδιότες] δεδιότες *A* Ψ, δεδοικότες *Nauck*   180 ἐς] εἰς *codd.*   πεφυλαγμένοι ἐξαποτῖσαι] = *I 102*   181 κλαίετ'] κλάετ' Φ   ἄλλυδις] ἄλυδις Φ   182 σαρδόνιον] Ψ, σαρδώνιον Φ   γελάσσετε] *Alexandre*, γελάσετε Φ, γελάσεται Ψ   ὁππότ' ἂν] ὁππόταν Φ, ὁπόταν (ὁπότ' ἂν *R*) Ψ   ἥξει] *A superscripto* η. ἥξῃ *codd. cett.*   183] *cf. VII 7* οὐδ' ἀλέγειν τὸ θεοῦ φοβερὸν καὶ ἐπήλυτον ὕδωρ   τοῦθ' ὃ] *Meineke*, τοῦτο Φ Ψ   184—187] *cf. III 402—405*   184 κεν Εὔης] *scribendum esse censui coll. III 402* κεν Ῥείης; καινεῖ Φ Ψ   μιαρὸν] *ex III 402 restituendum esse suspicatus est Alexandre*, ἱερὸν (ἰρὸν *P*) *codd.*   ἐν χθονὶ] εὐχονὶ *A*   δίῃ] *ipse dedi (cf. l. c.)*, κῦμα *codd.*   185] = *III 403, cf. I 132* σοὶ δ' ὦκ' ἐν ῥίζῃσιν ἀδιψήτοισι τεθηλός   ἀέναον] ἀένναον Φ Ψ   ῥίζαις ἐν] *ipse dedi*, ῥίζης ἐν Ψ, ῥίζος ἐν Φ, *cf. I 132*, ῥίζῃσιν *Alexandre scripsit*   ἀδιψήτοισι] ἀδιψήτησι Φ, *sed cf. I 132 III 403*   186 αὐτόπρεμνον] *ex III 404 correxerunt anonymi Londin. et Paris.*, αὐτόπρυμνον Φ Ψ   ἰῇ] ἰῇ δ' *Turnebus*   ἐνὶ] *dedi*, ἐν *codd.*   187 αὐτάνδρους δὲ πόλεις] αὐτάνδρους τε πόλεις *Turnebus*, δὲ *scripsit Volkmann*; καὶ πόλεις αὐτάνδρους Φ Ψ, καὶ πόλιας αὐτάνδρους *ipse proposui coll. Hom.* ϑ *560* καὶ πάντων ἴσασι πόλιας καὶ πίονας ἀγρούς, (*vide praeterea Hartelii Hom. Stud. III 12*), καὶ πόλις αὐτάνδρους *Opsopoeus, qua cum scriptura confert Meineke* κόρις *accusativum Anthol. Palat. IX 113*; (ει *monophthongi modo pronuntiatum esse censuit Alexandre Excurs. ad Sibyll. 605, cui ipse oblocutus sum Wiener Stud. 1882 p. 123*)   αὐτάνδρους] αὐτανδρασ *supra* α *scripto* ου *P*, αὐτάρδρους *F*   σεισίχθων ἐννοσίγαιος] σεισίχθων εἰνοσίγαιος Φ. σεισίγαιος ἐννοσίχθονος *F*, σεισίχθονος ἐννοσίγαιος *L R*   188] *cf. III 409* κευθμῶνας γαίης σκεδάσει καὶ τείχεα λύσει (ἐνοσίχθων)   κευθμῶνος] κευθμῶνας Ψ, κευθμῶνάς τε *Opsopoeus*   σκεδάσει—λύσει] *melius scribi posse* σκεδάσῃ *et* λύσῃ *monuit Alexandre*   189 κόσμος—ἀνθρώπων] = *II 21*; *cf. I 162* κόσμος ὅλος ἀπερείσιος ἀνδρῶν   καὶ—περ] *ipse scripsi*, καὶ τότε κόσμος ἅπας τε Φ. καὶ τότε κόσμος ἅπας Ψ; *an* καὶ τότε σύμπας κόσμος *scribendum?*   192 ἐπέλθῃ τοῦτο] Φ, ἐπέλθῃ τὸ Ψ, ἐπέλθῃσιν τὸ *suspicari licet coll. I 183*   κεκελευσμένον] κεκλυσμένον *Auratus*   193—195] = *VII 9—11*   193 πλεύσει] πλέυ *A*   πλεύσειε δ' ὄρη] *ex coniectura Meinekii in VII 9 emendavi*, πλεύσουσιν ὄρη Φ Ψ   καὶ] *om.* Ψ   196] *cf. VII 12* ὦ Φρυγίη. πρώτη δ' ἀναλάμψεις ὕδατος ἄκρου   ἀναδύσεαι] *ipse dedi*, ἀναδύσῃ ἀφ' *codd.* (ἀναδύσει *L*); *an* ἀναλάμψεις *e l. c.?*   197 δ' αὖ] δὲ αὖ *A*

I ἀρχομένην πάλιν αὖτις· ἔσῃ δὲ τροφὸς περὶ πάντων.
ἀλλ' ὅτε δὴ γενεῇ τὰ μάτην ἐλάλησεν ἀθέσμῳ,
ὕψιστος ὤφθη, πάλι δ' ἴαχε φώνησέν τε·
'καιρὸς ἔπεστ' ἤδη, Νῶε, τὰ ἕκαστ' ἀγορεύειν,
ὅσσα περ ἤματι τῷ σοὶ ὑπέστην καὶ κατένευσα,
πάντα μάλ', ὅσσα πάρος γενεαὶ κακὰ μυρί' ἔπραξαν,
ῥέξαι ἀπειρεσίῳ κόσμῳ διὰ λαὸν ἀπειθῆ.
ἀλλὰ τάχει ἔμβηθι σὺν υἱέσιν ἠδὲ δάμαρτι
καὶ νύμφαις. κάλεσον δ', ὁπόσοις κέλομαι ἀγορεύειν,
τετραπόδων μὲν φῦλα, καὶ ἑρπετὰ καὶ πετεηνά·
τοῖσιν δ' ἐν στήθεσσιν ἐγὼ μετέπειτα βαλοῦμαι
προφρονέως ἰέναι, ὁπόσων ζωὴν ἐπιτείλω'.
ὣς ἔφατ'· αὐτὰρ ὃ βῆ, μέγα δ' ἴαχε φώνησέν τε.
καὶ τότε δ' αὖτ' ἄλοχός τε καὶ υἱέες ἠδέ τε νύμφαι
οἴκῳ δουρατέῳ ἐσελήλυθον· αὐτὰρ ἔπειτα
βῆσαν τἆλλα ἕκασθ', ὅσα περ θεὸς ἤθελε φράξαι.
ἀλλ' ὅτε δ' ἁρμονίῃ κληὶς περὶ πῶμ' ἐγενήθη,
ἐς πλάγι' ἁρμοσθεῖσα περιξεστῷ ἐνὶ χώρῳ,
δὴ τότ' ἐπουρανίοιο θεοῦ ἐτελείετο βουλή.
σὺν δ' ἔβαλεν νεφέλας, κρύψεν δὲ πυραυγέα δίσκον,
σὺν δ' ἄστροις μήνην τε καὶ οὐράνιον στεφάνωμα,

205] Genes. 7, 1 sq., cf. 6, 18 211—213] Genes. 7, 7—9 214] cf. Genes. 7, 16

198 πάλιν αὖτις· ἔσῃ] *anonymus Londin. (sed* αὖθις*)*, δ' αὖθις· ἔσσῃ Φ Ψ *(*ἔσῃ *F)*, αὖθις· ἔσσῃ *Castalio* 199 γενεῇ τὰ] γενεὴ τὰ Φ, δὴ ταῦτα πάντα Ψ ἀθέσμῳ] ἀθέσμων Ψ 200] ὕψιστος τότ' ὦπτο πάλιν ἴσχε φώνησέν τε φθόγγῳ Ψ ὕψιστος] ὑψιστός τ' Φ, τ' *voculam (quam etiam Volkmann pro suspecta habuit) omisi* πάλι δ' ἴαχε] πάλιν ἴαχε *Volkmann* 201 καιρὸς—Νῶε] *ipse temptavi, de* Νῶε̄ *cf. I 269;* ἤδη καιρὸς ἐπέστη, Νῶε Φ Ψ; ἤδη καιρὸς ἔπεστι, Νῶε *(*Νῶε̄*) anonymus Londin. coll. I 126, 241* 202 ὅσσα περ] *ipse scripsi,* ὅσσα τε Φ, ὅσσα τοι Ψ, ὁσσάτι' *Volkmann* σοὶ] *om.* Ψ 204 ῥέξαι] Ψ, ῥαῖξαι *(*ῥαῖξε *B)* Φ, ῥέξω *voluit anonymus Paris.* διὰ λαὸν ἀπειθῆ] = *VIII 301* λαὸν ἀπειθῆ] = *III 668 VI 11* 205 σὺν—νύμφαις] = *I 270 sq.* ἔμβηθι] βῆθι Ψ 207] *cf. VIII 364* φῦλα | τετραπόδων νηκτῶν τε καὶ ὀρνίθων πετεηνῶν τετραπόδων μὲν φῦλα] *Volkmann,* τετραπόδων φῦλα *(*φύλα*)* Φ Ψ, τετραπόδων τά τε φῦλα *Opsopoeus* καὶ—πετεηνά] *cf. clausulam versus I 277 II 234 III 28* καὶ ἑρπετὰ] *Opsopoeus,* καὶ ἑρπετῶν *(*ἑπετῶν *P)* Φ Ψ καὶ πετεηνά] *Alexandre,* καὶ πετεεινά *Opsopoeus scripserat,* καὶ πετεηνῶν Φ Ψ 208 τοῖσιν δ' ἐν] τοῖσι *(*τοῖσιν *F)* δ' ἐνὶ Ψ βαλοῦμαι] βεβαιοῦμαι Ψ 209 προφρονέως] *Opsopoeus,* προφανέως Φ Ψ 210] *post hunc versum nonnulla excidisse suspicatus est Volkmann* 211 αὖτ'] *ipse dedi,* αὖ Φ Ψ τε] *addidi, om.* Φ Ψ ἠδέ τε] ἠδέ γε Φ 212 ἐσελήλυθον] ἐσελήλυθεν Ψ *(*εἰσελήλυθεν *L R).* εἰσήλυθον *Struve* 213 τἆλλα] *Struve,* τ' ἄλλα Φ Ψ ἕκασθ', ὅσα περ] ἕκαστα περ ὅσσα *(*ὅσα *L)* Ψ ἤθελε φράξαι] *ipse temptavi,* ἤθελε ῥαῖξαι Φ, ἤθελε ῥέξαι Ψ, ἤθελ' ἔερξαι *Alexandre,* ἤθελε ῥῦσαι *anonymus Paris.,* ἤθελ' ἐρύξαι *Struve* 214 ἁρμονίῃ] ἁρμονία *codd.,* 'praestaret ἁρμοδία' *Alexandre coll. Theogn. 422 (*ἁρμοδίαι θύραι*)* κληὶς] κλειὶς Φ 215 ἐς] εἰς *codd.* πλάγι'] *Turnebus,* πλάγιον Φ, πλάσιν Ψ 216 ἐπουρανίοιο] ἀπουρανίοιο *(*ἀπ' οὐρ. *F)* Ψ 217 ἔβαλεν] ἔβαλε *A,* ἔβαλλον Ψ νεφέλας] νεφέλαι Ψ κρύψεν] κρύψε *A* Ψ *(*κρύψαι *L)* πυραυγέα δίσκον] = *I 240* δίσκον] καρδίαν Ψ 218 τε καὶ] *anonymus Londin. (Struve 'si cum alio scriptore res nobis esset'),* καὶ Φ Ψ

I πάντα περισκεπάσας, μεγάλ' ἔκτυπε, δεῖμα βροτοῖσιν,
πρηστῆρας πέμπων· συνεπηγείροντο δ' ἀῆται
πάντες καὶ ὑδάτων πᾶσαι φλέβες ἀλλύοντο
οὐρανόθεν μεγάλων ἀναοιγομένων καταρακτῶν
ἔκ τε μυχῶν γαίης καὶ ἀβύσσου ἀκαμάτοιο
ὕδατα μυριόεντα φάνη καὶ γῆ ἐκαλύφθη
πάντη ἀπειρέσιος. αὐτὸς δ' ἐπενήχετο ὄμβρῳ
οἶκος θεσπέσιος· πολλοῖσι δὲ κύμασι λάβροις
ῥηγνύμενος καὶ πλησσόμενος ἀνέμων ὑπὸ ῥιπῆς
ὤρνυτο δειμαλέως· ἔτεμεν δέ τε μυρίον ἀφρὸν
στείρῃ κινυμένων ὑδάτων κελαρυζομενάων.
ἀλλ' ὅτε κόσμον ἅπαντα θεὸς κατέκλυσσ' ὑετοῖσιν,
καὶ τότε δ' αὖ Νῶε φρεσὶν ἔνθετο, ὄφρ' ἐσαθρήσαι
ἀθανάτου βουλαῖς· ἤδη δ' ἔχε Νηρέος ἄδην.
ὦκα δὲ δῶμ' ἀνέῳξε περιξέστου ἀπὸ τοίχου
ἐμπείροις ἁρμοῖσι κατ' ἀντίον ἁρμοσθέντος.
καὶ λεύσας ὑδάτων μὲν ἀπειρεσίων πολὺ πλῆθος

221—224] Genes. 7, 11 224—229] Genes. 7, 17 sq. 230] Genes. 7, 19 233] Genes. 8, 6

219 *βροτοῖσιν] βροντοῖσιν Ψ* 220 *πρηστῆρας] πρηστῆρα L R συνεπηγείροντο] ἐπηγείροντο Ψ* 221 *πάντες καὶ] πάντες δ' ἅμα Ψ πᾶσαι—ἀλλύοντο] ipse temptavi (cf. Hom. β 109 ἀλλύουσαν β 105 ἀλλύεσκεν Apoll. Rhod. Δ 150 ἀνελύετ' υ vocali longa), φλέβες ἐλύοντο ἅπασαι Φ, φλέβαις (φλέβες R) λύοντο ἅπασαι Ψ, φλέβες ἐβλύοντο ἅπασαι anonymus Londin., φλέβες ἐξελύοντο ἅπασαι Opsopoeus maluit, φλέβες ἐλλύοντο ἅπασαι Auratus* 222 *οὐρανόθεν] οὐρανόθεν τε Ψ ἀναοιγομένων] ex Hom. Ω 455 (τρεῖς δ' ἀναοίγεσκον μεγάλην κληῖδα θυράων) restituendum esse primus vidit Struve, ἀνεοιγομένων Φ, ἀνοιγομένων Ψ, διανοιγομένων Boissonade, ἐπανοιγομένων anonymus Londin.* 223 *ἔκ—γαίης] Auratus, καὶ μυχῶν γαίης Φ Ψ, καὶ μυχέων (a μυχή derivandum) γαίης Struve, καὶ γαίης τε μυχῶν Volkmann, καὶ μυχάτων γαίης Nauck* 224 *μυριόεντα] μυρίεντα Ψ, unde Meineke μυρήεντα coniecit* 225 *πάντη ἀπειρέσιος] ipse temptavi, πᾶσα ἀπειρέσιος Φ Ψ, πᾶσ' ἀπειρέσιος proponebat Volkmann collata codicum scriptura I 235, ubi corruptelam statuimus αὐτὸς δ'] δ' αὐτάρ τ' Ψ ἐπενήχετο ὄμβρῳ] ἐπινήχεται ὄμβρῳ Ψ* 227 *πλησσόμενος] ipse scripsi; νηχόμενος Φ Ψ, quod verbum videtur irrepsisse ex I 225 (ἐπενήχετο)* 228 *ὤρνυτο] ὄρνυτο Ψ ἔτεμεν] Betuleius, ἔτεμνεν Φ, ἔτεμνε Ψ δέ τε] ipse scripsi, δέ γε Φ, om. Ψ* 229 *στείρῃ κινυμένων] στείρᾳ κινυμένων Boissonade, στεῖρα κινυμένων P B, στεῖρα κινυμένων Ψ, στείρακι (sic) νηχομένων (ex v. 227) A, στείρῃ κινυμένων Alexandre (in Cur. poster.)*
229 *ὑδάτων κελαρυζομενάων] cf. III 440 κελαρύξεται ὕδωρ; de hoc genetivo cf. XI 184 ἐτέων περιτελλομενάων, Hesiod. Scut. 7 βλεφάρων ἀπὸ κυανεάων* 230 *κατέκλυσσ' ὑετοῖσιν] correxi, κατέκλυσ' ὑετοῖσι codd. praeter A, qui habet κατέκλυ . . . τοῖσι intervallo interposito* 231 *ἔνθετο] ἔθετο Φ ἐσαθρήσαι] Volkmann, ἐσαθρήση Φ Ψ* 232 *ἀθανάτου βουλαῖς· ἤδη δ' ἔχε] ipse suspicatus sum, ἀθανάτου (ἀθάνατον P) βουλῆσιν· ἔδν δέ τε Φ, ἀθανάτου βουλὴν ἰδὲ Ψ Νηρέος] νηρέως Ψ ἄδην] (ᾄδην A) Φ Ψ, ἄδην edd. vett.* 233 *δῶμ'] πῶμ' Opsopoeus (ex Hom. Π 221) περιξέστου] περὶ ξεστοῦ Φ Ψ ἀπὸ τοίχου] F, ἀπὸ τείχου cett. codd.* 234 *ἁρμοῖσι κατ' ἀντίον] ἁρμοῖς κατεναντίον suspicatus est Volkmann ἁρμοσθέντος] Opsopoeus, ἁρμοσθέντα Φ Ψ* 235 *καὶ λεύσας] Castalio, κελεύσας Φ Ψ ὑδάτων μὲν] Opsopoeus, ὑδάτων Φ Ψ*

I *πάντοσε Νῶε—τὸ δ᾽ ἔμμορ᾽ ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι —*
δεῖμ᾽ ἔχε καὶ κραδίην πάλλεν μέγα. καὶ τότε δ᾽ ἀὴρ
βαιὸν στειλάμενος, ἐπεὶ ἤ κάμεν ἤμασι πολλοῖς
κόσμον ὅλον δεύων, † τότε διελὼν οἷά τε χλωρὸν
αἱματόεντα πόλον τε μέγαν τε πυραυγέα δίσκον
δεῖξεν κεκμηῶτα· μόλις δ᾽ εἶχεν Νῶε θάρσος.
καὶ τότε δὴ πελίην οἴην ἀπὸ νόσφι ποιήσας
ἔκβαλεν, ὄφρα κε γνοίη ἐνὶ φρεσίν, εἴ ποτε γαῖα
φαίνετ᾽ ἔτι στερεή. ἡ δὲ πτερύγεσσι καμοῦσα,
πάντα περιπταμένη, πάλιν ἐτρέπετ᾽· οὔτε γὰρ ὕδωρ
ἦν κοπάσαν· μάλα γάρ τε πεπληρώκει τὰ ἕκαστα.
αὐτὰρ ὅ γ᾽ ἡσυχάσας πάλιν ἤματα, πέμπε πέλειαν
αὖτις, ἵνα γνοίη, εἰ ἐπαύσατο ὕδατα πολλά.
ἡ δ᾽ ἄρα πωτήεσσα διέπτατο, βῆ δ᾽ ἐπὶ γαῖαν,
βαιὸν δ᾽ ἀμπαύσασα δέμας νοτερῇ ἐπὶ γαίῃ
ἂψ ἐπὶ Νῶε πάλιν αὖτις ἀνήλυθε κάρφος ἐλαίης
σῆμα φέρουσα μέγ᾽ ἀγγελίης. θάρσος δ᾽ ἔχε πάντας
καὶ μέγα χάρμ᾽, ὅτι γαῖαν ἐπελπίζεσκον ἀθρῆσαι.
καὶ τότε δὴ μετέπειτ᾽ ἄλλον μελανόπτερον ὄρνιν
ὡς τάχος ἐξαπέπεμπεν· ὃ δὲ πτερύγεσσι πεποιθὼς
προφρονέως πωτᾶτο, γαίῃ δ᾽ ἐλθὼν ἐπέμεινεν.

242—253] Genes. 8, 8—12 254—256] Genes. 7, 8 sq.

236 *Νῶε—τὸ δ᾽ ἔμμορ᾽ ἐν] ex Hartelii sententia scripsi; νῶε (μῶ P) ἔμορεν Φ, νόον ἔμαρε Ψ, Νῶε μόρον μόρεν Castalio, Νῶε μόρον μόρον anonymus Londin. (qui addidit: 'ἑβραΐζει οὗτος ὁ χρησμολόγος σιβυλλιῶν'), δ᾽ ἔμμορε Νῶε ἐν Volkmann, Νῶε μόρον μόνον Alexandre* 237 *κραδίην πάλλεν] cf. VIII 466 παλλομένη κραδίην* *πάλλεν] πάλλε Ψ* 238 *ἐπεὶ ἤ] Opsopoeus (ἐπειή), ἐπεὶ Φ Ψ* 239 *† τότε διελὼν] Φ Ψ, locus nondum sanatus; διελὼν τότε Opsopoeus, τότε δείελον Turnebus, τότε δηλῶν Hartel scribi posse monuit* 240 *πόλον τε] ipse scripsi, πόλον Φ Ψ, πόλοιο Opsopoeus* *πυραυγέα δίσκον] = I 217* 240 *αἱματόεντα—κεκμηῶτα] cf. VII 125 οὐρανὸν οὐκ ἄστροις, ἀλλ᾽ ἐν πυρὶ κεκμηῶτα* *δεῖξεν] Opsopoeus correxit, δεῖξε Φ Ψ* *κεκμηῶτα] Castalio, κεκμηκότα Φ (κεκληκότα R) Ψ* *εἶχεν] Castalio, ἔχε (ἔχεν P) Φ Ψ* 242 *πελίην] Ψ, πελιὴν Φ, quod tuebatur Volkmann* *οἴην] οἴην F* 243 *ὄφρα κε] ipse dedi, ὄφρα Φ, ἵνα Ψ* *γνοίη] Opsopoeus, γνῷ Φ Ψ* 244 *ἔτι στερεή] Auratus, ἐπὶ στερεῇ Φ Ψ* 245 *πάντα περιπταμένη, πάλιν ἐτρέπετ᾽] ipse scripsi, πάντα περιπτήσασα πάλιν τρέπετ᾽ Φ Ψ* 246 *ἦν] om. A* *τε] ex τότε correctum est in P, om. Ψ* 247 *ὅ γ᾽] ipse scripsi, ὃς Φ Ψ* *πάλιν ἤματα] πάλιν ἤματι Ψ, ἔπτ᾽ ἤματα Meineke* 248 *αὖτις] αὖθις Castalio* *ἵνα γνοίη, εἰ] Volkmann, ἵνα γνῷ, εἴπερ Φ, ἵνα γνῷ, εἰ Ψ* 249 *διέπτατο] διήπτατο L* 250 *βαιὸν δ᾽ ἀμπαύσασα] cf. XII 297 βαιὸν δ᾽ ἄμπαυσόν με III 3 βαιόν μ᾽ ἄμπαυσον* 251 *πάλιν αὖτις ἀνήλυθε] ipse scripsi, πάλιν δέ τε ἤλυθε Φ, πάλιν ἤλυθε Ψ, αὖθις πάλιν ἤλυθε anonymus Londin., πάλιν δ᾽ ἐπανήλυθε Volkmann et Meineke* *ἐλαίης] ipse dedi, ἐλαίας Φ Ψ* 253 *χάρμ᾽] χάρμα Ψ* *ἐπελπίζεσκον] ἐφελπίζεσκον Φ* 254 *μελανόπτερον] μελανοπτέρυγον A* 255 *ὡς τάχος ἐξαπέπεμπεν] ipse scripsi Turnebi coniectura ὡς τάχος usus; τάχος ὑπεξέπεμπεν Φ praeter P, qui τάχος ἐξέπεμπε habet, τάχος ὑπεξέπεμψεν Ψ, ὡς τάχος ἔξω πέμπεν Turnebus, ἦ τάχος ἐξυπέπεμψεν dubitans Meineke, τοίχου ὑπεξέπεμψεν Alexandre, qui postea Huetio (qui τεύχεος invenit) praeeunte τεύχεος ἐξαπέπεμψεν scripsit, αὐτίχ᾽ (vel εὐθὺς) ὑπέκπεμπεν Boissonade* 256 *πωτᾶτο] Ludwich, πέτατο Φ Ψ* *ἐπέμεινεν] primus Auratus postulavit, ἀπέμεινε codd.*

γνῶ δέ τε Νῶε ὅτι δὴ γαίη πέλετ' ἆσσον ἐοῦσα.
ἀλλ' ὅτε δὴ ῥοθίοις ἐπὶ κύμασιν ἔνθα καὶ ἔνθα
ἀμβροσίη τέχνη ἐπενήχετο οἴδμασι πόντου,
πηγνυμένη ὀλίγῃσιν ἐπ' ἠόσιν ἐστήριχτο.
ἔστι δ' ἐνὶ Φρυγίοισιν ἐπ' ἠπείροιο μελαίνης
ἠλίβατον τανύμηκες ὄρος· Ἀραρὰτ δὲ καλεῖται,
ὅττ' ἄρα σωθήσεσθαι ἐπ' αὐτῷ πάντες ἔμελλον,
ἐν τούτῳ μεγάλη δὲ ποθὴ καταθύμιος ἦεν·
Μαρσύου ἔνθα φλέβες μεγάλου ποταμοῖο πέφυκαν.
τῇδε κιβωτὸς ἔμεινεν ἐφ' ὑψηλοῖο καρήνου
ληξάντων ὑδάτων, τότε δ' αὖ πάλιν οὐρανόθι πρὸ
θεσπεσίη μεγάλοιο θεοῦ ἐπανίαχε φωνὴ
τοῖον ἔπος· 'Νῶε πεφυλαγμένε πιστὲ δίκαιε,
θαρσαλέως ἔξελθε σὺν υἱέσιν ἠδὲ δάμαρτι
καὶ νύμφαις τρισσαῖς καὶ πλήσατε γαῖαν ἅπασαν
αὐξόμενοι πληθυνόμενοι τὰ δίκαια νέμοντες
ἀλλήλοις, γενεαῖς γενεῶν, ἄχρις ἐς κρίσιν ἥξει
πᾶν γένος ἀνθρώπων, ἐπεὶ ἦ κρίσις ἔσσεθ' ἅπασιν'.
ὣς ἔφατ' ἀμβροσίη φωνή. Νῶε ῥ' ἧς ἀπὸ κοίτης

260—266] Genes. 8, 4 sq. 267—272] Genes. 8, 15—17 275—280] Genes. 8, 18 sq.

257 ὅτι δὴ γαίη πέλετ'] *ipse scripsi (Νῶε per synizesin pronuntiandum velut I 201)*, ὅτι γαῖα πέλει πέλας Φ Ψ (πέλει *om.* L), ὅτι γαῖα πέλει *Opsopoeus*, ὅτι γαίη πέλει *Volkmann* 259 ἀμβροσίῃ τέχνῃ] *suspicatus est anonymus Paris., 'quo nempe suppleretur vox absens, ναῦς vel κιβωτός'*, ἀμβροσίη τέχνη Φ Ψ ἐπενήχετο] ἐπενήνετο *A* οἴδμασι πόντου] οἴδμασιν (*omisso* πόντου) Ψ 260 πηγνυμένη] *Opsopoeus*, ῥηγνυμένη Φ Ψ ὀλίγῃσιν ἐπ' ἠόσιν] ὀλίγαισιν ἐπ' ἠόσιν *dubitans Volkmann coniecit*, ὀλίγης (ὀλίγοις *A*) ἐπ' ἠμόνος Φ, ὀλίγης ἐπὶ ἠόνος Ψ 261 ἔστι δ'—ἐπ'] *ipse temptavi*, ἔστι δέ τις Φρυγίης ἐπ' Φ Ψ, ἔστι δέ τι Φρυγίης ἐπὶ (ἐπὶ *ex Castalionis scriptura*) *Alexandre* 262 τανύμηκες] *rubro adscriptum* ὑψηλόν *P S*, τανύμηκος Ψ ὄρος] ὄρος τ' Ψ 263 ὅττ' ἄρα] Φ, ὅττι ῥα *Meineke*, ὅτε γ' (τ' *R*) ἄρα Ψ ἐπ' αὐτῷ] ἐπ' αὐτὸ *P* 265 Μαρσύου—πέφυκαν] *Huetius*, ἔνθα φλέβες μεγάλου ποταμοῦ Μαρσύου πέφυκαν Φ, ἔνθα φλέβες μεγάλου ποταμοῦ Μαρσύου πεφύκασι Ψ; ἔνθα φλέβες μεγάλοιο πεφύκασι Μαρσύαο *Meineke* πέφυκαν] *cf. I 86* ἔσχηκαν *XIV 253* ἔοργαν 266 τῇδε] *Ludwich (nam sequentis vocabuli* κιβωτός *syllaba prima apud poetas serioris aetatis corripi potest)*, τῷδε Φ Ψ, τῇ *Volkmann*, τοῖσδε *Opsopoeus* ἐφ'—καρήνου] *anonymus Londin.*, ἐν ὑψηλοῖο (ὑψηλοῖς *L R*) καρήνῳ Φ Ψ, *suspicari possit quispiam* ἐν ὑψηλοῖσι καρήνοις; ἐν ὑψήεντι καρήνῳ *Alexandre* 267 πάλιν — 268 θεοῦ] *haec verba librarius (altero* πάλιν *falsus) in A B omisit, unde Volkmann perperam hoc modo v. 267 sq. conformavit:* ληξάντων ὑδάτων· τότε δ' αὖ πάλιν ἴαχε φωνὴ [θεσπεσίη μεγάλοιο θεοῦ πάλιν οὐρανόθι πρό] οὐρανόθι πρό] = *V 351, cf. III 256* οὐρανόθεν πρό 268 ἐπανίαχε] *ipse temptavi*, πάλιν ἴαχε Φ, ἴαχε (*omisso* πάλιν) Ψ 269 πεφυλαγμένε] πεφιλημένε *Auratus* 270 σὺν—νύμφαις] = *I 205 sq.* ἠδὲ δάμαρτι] *Turnebus, cf. I 205 (et 277)*, τε καὶ δάμαρτι Φ, καί τε δάμαρτι Ψ, σύν τε δάμαρτι *Auratus* 272 αὐξόμενοι πληθυνόμενοι] *cf. I 57* αὔξεσθε πληθύνεσθ' τὰ δίκαια νέμοντες] = *I 295, cf. II 49* τὰ δίκαια νέμουσιν αὐξόμενοι] αὐξανόμενοι Ψ 273 ἐς] εἰς Φ Ψ 274 ἐπεὶ ἦ] ἐπειὴ *anonymus Londin.*, ἐπεὶ Φ Ψ ἔσσεθ'] ἔσεθ' *F*, ἔσετ' Φ 275 ἀμβροσίη φωνή] Φ (*in* φωνή *e circumflexo acutus factus est in P*), ἀμβροσίη φωνῇ Ψ Νῶε ῥ' ἧς] *scripsi*, νοερῶς δ' Φ Ψ, Νῶε δ' ὡς *Opsopoeus*, Νῶε δ' ἀπὸ κοίτης *Alexandre*

I ἦξ' ἀποθαρσήσας ἐπὶ γῆς, υἱοὶ δὲ σὺν αὐτῷ
ἠδὲ δάμαρ νύμφαι τε καὶ ἑρπετὰ καὶ πετεηνὰ
τετραπόδων θηρῶν τε γένη καὶ τἄλλ' ἅμα πάντα
οἴκου δουρατέου ἐξήεσαν εἰς ἕνα χῶρον.
καὶ τότε δή τοι Νῶε δικαιότατος ἀνθρώπων
ὄγδοος ἐξῆλθεν δὶς ἐείκοσι καὶ μίαν ἠῶ
πληρώσας ὑδάτεσσι θεοῦ μεγάλου διὰ βουλάς.
ἔνθ' αὖτις βιότοιο νέη ἀνέτειλε γενέθλη,
χρυσείη πρώτη, ἥ τις πέλεθ' ἕκτη, ἀρίστη,
ἐξ ὅτε πρωτόπλαστος ἀνὴρ γένετ'· οὔνομα δ' αὐτῇ
οὐρανίη, ὅτι πάντα θεῷ μεμελημένη ἔσται.
ὦ γενεῆς ἕκτης πρῶτον γένος, ὦ μέγα χάρμα,
ἧς ἔλαχον μετέπειθ', ὁπότ' ἔκφυγον αἰπὺν ὄλεθρον
πολλὰ κλυδωνισθεῖσ' ἅμ' ἐμῷ πόσει ἠδὲ δαέρσιν
ἠδ' ἑκυρῷ θ' ἑκυρῇ θ' ὁμονύμφοις τ' αἰνὰ παθοῦσα.
ἄρτια δ' αἰνήσω· ἔσται πολυποίκιλον ἄνθος
ἐν συκῇ, μετόπισθε Κρόνος βασιλήιον ἀρχὴν

281] cf. Genes. 7, 17   283—306] cf. Hesiod. Oper. 90—92, 108—126

287 sq.] Constantini orat. ad sanct. coet. c. 18: *ἡ τοίνυν Ἐρυθραία Σίβυλλα φάσκουσα ἑαυτὴν ἕκτῃ γενεᾷ μετὰ τὸν κατακλυσμὸν (fallitur scriptor) γενέσθαι, ἱέρεια ἦν τοῦ Ἀπόλλωνος*   288—290] Schol. ad Platon. Phaedr. p. 244 B: *Σίβυλλαι μὲν γεγόνασι δέκα, ὧν πρώτη ὄνομα Σαμβήθη· . . καὶ δὴ καὶ ἑνὶ τῶν παίδων τοῦ Νῶε εἰς γυναῖκα ἁρμοσθῆναι καὶ συνεισελθεῖν αὐτῷ τε καὶ τοῖς ἄλλοις ἐν τῇ κιβωτῷ*

276 ἦξ'] *Alexandre, ἧς (ἦς P) Φ, αἷς Ψ, ἦλθ' Turnebus*   ἀποθαρσήσας] *ὑποθαρσήσας Ψ*   ἐπὶ] *ἀπὸ Ψ*   279] *om. P B*   280 τοι] *om. Ψ*   281 ἐξῆλθεν] *ἐξῆλθε Ψ*   δὶς ἐείκοσι] *Volkmann, δὶς εἴκοσι Φ Ψ, δίς ι' εἴκοσι olim ipse suspicatus sum*   283 αὖτις] *αὖθις Opsopoeus, ἄκοιτις Φ Ψ*   284 πέλεθ'] *πέλεται Φ (πέλει' B) Ψ*   285 ἐξ ὅτε] *ἐξότε Volkmann (et postea Meineke), ἐξ ὅτεν Φ, ἐξότου Ψ, ἐξ οὗ Castalio*   ἀνὴρ γένετ'] *γένετ' ἀνὴρ Φ*   286 μεμελημένη] *μεμελημένα Ψ, πεφιλημένη Auratus*   ἔσται] *ἦεν Auratus*   288 μετέπειθ', ὁπότ'] *Struve, μετέπειτ', ὅτε δ' Φ, μετέπειτα, ὅτε δ' Ψ, μετέπειτα, ὅτ' Alexandre*   ἔκφυγον] *ἔφυγον Ψ*   289 sq.] *cf. III 827 τοῦ μὲν ἐγὼ νύμφη καὶ ἀφ' αἵματος αὐτοῦ ἐτύχθην*   κλυδωνισθεῖσ'—πόσει] *Castalio, κλυδωνισθεῖσα σὺν ἐμῷ πόσει Φ Ψ, κλυδωνισθεῖσα πόσει σὺν Turnebus, κλυδωνισθεῖσ' ἅμ' ἐμῷ πόσι Meineke coll. ἐν φαὶ κοινῷ I 348 III 494*   ἠδὲ δαέρσιν] *M. Schmidt, καὶ δαέρεσσιν Φ Ψ*   290 ἑκυρῷ θ'] *ἑκυρῶ τ' Φ*   ἑκυρῇ θ'] *anonymus Londin. (postque eum Struve), ἑκυρῇ omisso θ' Ψ, ἑκυρῆ om. θ' Φ*   ὁμονύμφοις τ' αἰνὰ παθοῦσα] *ex Aurati coniectura ὁμονύμφοις αἰνὰ παθοῦσα scripsi; ὁμονύμφοις (ὁμονύμφης A) τε παθοῦσα Φ Ψ, ὁμονύμφοισίν τε παθοῦσα Opsopoeus*   291 ἄρτια δ' αἰνήσω] *Meineke, ἄρτι δὲ αἰνήσω Φ, ἄρτι δὲ ἐννήσω (ἐν νήσω) Ψ, cf. ad 292*   ἔσται] *om. Ψ*   πολυποίκιλον] *an πάλι ποικίλον?*   292] *duos versus mutilos in unum aeque mancum coivisse arbitratus est Ranconetus teste Opsopoeo; similiter Volkmanno post αἰνήσω et συκῇ singuli versus excidisse videbantur*   ἐν συκῇ] *ἐν σύκη Ψ, ἐν σάκη· σύκη P S, ἐν σύκη σύκη A, ἐν συήη σύκη B; (archetypus stirpis Φ ἐν συκῇ συκῇ vel simile quid habuisse videtur, unde Volkmann ἐν συκῇ συκῇ edidit lacunae signo post haec verba posito)*   μετόπισθε—ἕξει] *ipse temptavi Thorlacii et Alexandri coniecturis usus, cf. III 110, 113; μεσάσει δὲ χρόνος βασιλήιον (βασίλειον Φ, sed βασιλεῖον A) ἀρχὴν σκηπτροφόρον δέξη (δέξῃ A) Φ Ψ, μεσάσει δὲ Κρόνου βασιλήιος ἀρχὴ Thorlacius adnuente Bleekio, qui ipse σκηπτροφόρος δ' ἔσται adiunxit; pro μεσάσει δὲ codicum μετόπισθε scribendum esse monuit Alexandre, qui in editione altera μέσος εἶτα χρόνος βασιλήιον ἀρχὴν | σκηπτροφόρον δείξει in textum recepit; e librorum scriptura δέξη Turnebus δ' ἕξει eruit*

1 σκηπτροφόρον θ' ἕξει. τρεῖς γὰρ βασιλεῖς μεγάθυμοι,
ἄνδρε δικαιότατοι, διαδάσσονται τότε μοίρας,
πουλυετῆ δ' ἄρξουσι χρόνον τὰ δίκαια νέμοντες
ἀνδράσιν, οἷσι μέμηλε πόνος καὶ ἔργ' ἐρατεινά.
γαίη δ' αὖ καρποῖς ἐπαγάλλεται αὐτομάτοισιν
φυομένοις πολλοῖσιν ὑπερσταχύουσα γενέθλῃ.
οἱ δὲ τιθηνευτῆρες ἀγήραοι ἤματα πάντα
ἔσσονται νόσφιν νούσων κρυερῶν μαλεράων·
θνήξονθ' ὡς ὕπνῳ βεβολημένοι, ἐς δ' Ἀχέροντα
εἰν Ἀίδαο δόμοις ἀπελεύσονται καὶ ἐκεῖσε
τιμὴν ἕξουσιν, ἐπεὶ ἢ μακάρων γένος ἦσαν,
ὄλβιοι ἀνέρες, οἷς Σαβαὼθ νόον ἐσθλὸν ἔδωκεν,
αὐτὰρ καὶ τούτοισιν ἀεὶ συμφράσσατο βουλάς.
ἀλλ' οὗτοι μάκαρες καὶ εἰν Ἀίδαο μολόντες
ἔσσονται. τότε δ' αὖτε βαρὺ στιβαρὸν μετέπειτα
δεύτερον αὖ γένος ἄλλο χαμαιγενέων ἀνθρώπων,
Τιτήνων. ὅμοιος δὲ τύπος ἐπὶ πᾶσι κέκασται
εἶδός τε μέγεθός τε φυή τ'· αὐδὴ δὲ μί' ἔσται,
ὡς πάρος ἐκ πρώτης γενεῆς θεὸς ἐν στήθεσσιν

306—314] cf. Hesiod. Oper. 127—139

293 *sqq.*] *cf. III 114 sq.* τρισσαὶ δὴ μερίδες γαίης κατὰ κλῆρον ἑκάστου | καὶ βασίλευσεν ἕκαστος ἔχων μέρος 294 ἄνδρε δικαιότατοι] *P*, ἄνδρες δικαιότατοι *codd. cett.*, ἄνδρα δικαιότατον (μοίρῃ διαδηλήσονται) *dubitans* Volkmann (*'iustissimum virum calamitate afficient' coll. III 52*) διαδάσσονται τότε μοίρας] *ipse dedi, cf. Hesiod. Theog. 544;* μοίρας δέ τε δηλήσονται *P A*, μοίρας δειλήσονται *B*, μοίρας δή τε δηλήσονται *Ψ* (μοίρας δή τε δικάσονται *L m*[1]) 295 πουλυετῆ] *A*, πολυετῆ *codd. cett.* τὰ δίκαια νέμοντες] = *I 272, cf. II 49* τὰ δίκαια νέμουσιν 296 οἷσι] οἷσιν *P* 297 ἐπαγάλλεται] ἐπάλλεται *B* 298 φυομένοις] Volkmann, φυομένη *codd.* 299 οἱ δὲ τιθηνευτῆρες] (*vel* τιθηνητῆρες) *Meineke* (*'ich verstehe dies von den Pflegern der im vorhergehenden geschilderten Felder'*), οἱ δέ τε τηθευτῆρες *codd.*, οἱ δὲ τότ' ἰθυντῆρες (*'qui vero tunc dominabuntur'*) *Alexandre* ἀγήραοι] ἀγήραιοι *Φ* 300 νόσφιν νούσων] νόσφιν δὲ νόσων *Turnebus* μαλεράων] μαλαρέων *Ψ*. *an* μαλερῶν τε *scribendum?* 301 θνήξονθ'—βεβολημένοι] *cf. I 71* θνῆσκον, ἀλλ' ὡς δεδμημένοι ὕπνῳ θνήξονθ' ὡς] *ex Hesiodi Oper. 116 restituendum esse Auratus vidit (cf. I 71)*, θνήξονται *Φ Ψ*, θνήξονται δ' *suspicatus est Alexandre* Ἀχέροντα] *Turnebus*, ἀχέροντας *Φ Ψ*, *quod retinuit Alexandre ut* Τάρταρα *sic* Ἀχέροντας *poetam dicere potuisse ratus* 302 *sq.*] *cf. I 85* ἀλλ' οὗτοι πάντες καὶ εἰν Ἀίδαο μολόντες | τιμὴν ἔσχηκαν εἰν Ἀίδαο] ἐν ἀίδαο *Φ Ψ* καὶ] *om. Ψ* 303 ἐπεὶ ἢ] ἐπειὴ *Opsopoeus*, ἐπεὶ *Φ Ψ* γένος] παῖδες *Ψ* 304 ἀνέρες] μάκαρες *Ψ* οἷς] οἷσι *Ψ* ἔδωκεν] δῶκεν *Φ Ψ* 305 καὶ τούτοισιν] τούτοις (*omisso* καὶ) *Ψ* 306] *cf. I 85* ἀλλ' οὗτοι πάντες καὶ εἰν Ἀίδαο μολόντες εἰν] ἐν *Ψ* μολόντες] μολῶντες *Φ Ψ* 307 τότε δ' αὖτε] *A*, τότε δ' αὖ *codd. cett.* βαρὺ] *om. Ψ* 308 αὖ γένος ἄλλο] δεύτερον ἄλλο γένος *Ψ* 309 ὅμοιος—κέκασται] *Meineke*, ὅμοιος δὲ τύπος ἐπὶ πᾶσιν ἕκαστον *Φ Ψ*, *quod defendit Alexandre coll. Γ 180 ('*ἕκαστον *ad tria refertur* εἶδος, μέγεθος *et* φυήν, *quo modo construitur* ἀμφότερον *apud Homerum')*, ὅμοιος δὲ τύπος ἐπὶ πᾶσιν ἐπέσται *olim Volkmann, qui postea Alexandro adstipulatus est*, ὅμοιος δὲ τύπος ἐπὶ πᾶσιν ἑκάστου *Opsopoeus* 310 εἶδος—αὐδὴ] *ipse restitui coll. Hom. B 58 et Σ 419 Δ 430 β 268, 401 χ 206 ω 503, 548;* (εἶδός τε μέγεθός τε *etiam anonymus Londin. et Meineke scribendum esse viderunt*); εἶδος καὶ μέγεθός τε φυήν (φυή *Φ*)· φωνὴ *Φ Ψ*

I ἔνθετο. ἀλλὰ καὶ αὐτοὶ ὑπέρβιον ἦτορ ἔχοντες
ὕστατα βουλεύσονται ἐπειγόμενοι πρὸς ὄλεθρον
ἀντίβιον μαχέσασθαι ἐπ' οὐρανῷ ἀστερόεντι.
καὶ τότε δ' ὠκεανοῦ μεγάλου ῥύσις ἔσσετ' ἐπ' αὐτοῖς
μαινομένων ὑδάτων. ὁ μέγας Σαβαὼθ δὲ χολωθεὶς
εἴρξει κωλύων, ὅτι μὴ κατακλυσμὸν ὑπέστη
αὖτις ποιήσεσθαι ἐπ' ἀνθρώπους κακοθύμους.
  ἀλλ' ὁπότ' ἂν ὑδάτων πολλῶν ἀπερείσιον οἶδμα
κύματος ὀρνυμένοιο ἐπ' ἄλλυδις ἄλλο ποιήσει
ὀργῆς παύεσθαι, εἰς ἄλλα τε βένθεα πόντου
μέτρ' ὀλιγώσειεν λιμέσιν καὶ τρηχέσιν ἀκταῖς
ἀμφὶ γαίῃ ὁρίσας ὁ μέγας θεὸς ὑψικέραυνος·
δὴ τότε καὶ μεγάλοιο θεοῦ πάϊς ἀνθρώποισιν
ἥξει σαρκοφόρος θνητοῖς ὁμοιούμενος ἐν γῇ·
τέσσαρα φωνήεντα φέρει, δύ' ἄφωνα δ' ἐν αὐτῷ
δισσὸν ἓν ἀγγέλλοντ'· ἀριθμὸν δ' ὅλον ἐξονομήνω·
ὀκτὼ γὰρ μονάδας, τόσσας δεκάδας δ' ἐπὶ ταύταις,
ἠδ' ἑκατοντάδας ὀκτὼ ἀπληστοκόροις ἀνθρώποις
οὔνομα δηλώσει· σὺ δ' ἐνὶ φρεσὶ σῇσι νόησον
ἀθανάτοιο θεοῦ Χριστὸν παῖδ' ὑψίστοιο.
αὐτὸς πληρώσει δὲ θεοῦ νόμον, οὐ καταλύσει,
ἀντίτυπον μίμημα φέρων, καὶ πάντα διδάξει.
τούτῳ προσκομίσουσ' ἱερεῖς χρυσὸν προφέροντες,

312—314] cf. Hesiod. Theog. 629—631, 665—670 316—319] Genes. 8, 21; 9, 15 332] Matth. 5, 17 334] Matth. 2, 11 (cf. Es. 60, 6)

312 ἔνθετο] ἔθετο *A Ψ* ὑπέρβιον—ἔχοντες] *cf. I 108* 314] *cf. XI 9* οὐρανῷ ἀντιφέροντες 315 ἐπ' αὐτοῖς] *anonymus Londin. (cf. ad I 78)*, ἐν αὐτοῖς *codd.* 316 ὁ μέγας] μέγα *Ψ* 318 ποιήσεσθαι ἐπ'] *ipse scripsi*, ποιήσειν ἐπὶ *Φ*, ποιήσειν ἐπ' *Ψ* 319 ἀπερείσιον] ἀπειρέσιον *Ψ* 320 ὀρνυμένοιο ἐπ' ἄλλυδις] ὀρνυμένου ἐπὶ ἄλλυδις *Φ* ποιήσει] ποιήσῃ *Alexandre* 321 εἰς—βένθεα] καὶ εἰς ἄλα βένθεα *Ψ* 322 ὀλιγώσειεν] *Alexandre*, ὀλιγωθείη *Φ Ψ* λιμέσιν—ἀκταῖς] λιμέσιν τραχέσιν τε καὶ ἀκταῖς *anonymus Londin.*, λιμέσιν καὶ τραχέσιν ἀκτῆς *Turnebus* λιμέσιν] λιμέσι *A* τρηχέσιν ἀκταῖς] *cf. III 777* τρηχέες ὄχθαι τρηχέσιν] τραχέσιν *Φ* 323 ἀμφὶ—ὁρίσας] ἀμφὶ γαίην ὁρίσει *Opsopoeus* 323] *lacunam maiorem post hunc subesse statuit Alexandre (ed. alt.)* πάϊς] *Struve (et Nauck)*, παῖς *Φ Ψ* 325 θνητοῖς] θνητοῖσιν *Ψ* 326 φέρει] φέρων *Ψ* δύ'—ἀγγέλλοντ'] *Struve*, τὰ δ' ἄφωνα δύ' αὐτῷ | δισσῶν ἀγγέλλων *Φ*, τὰ δ' ἄφωνα ὄντα ἐν αὐτῷ | δισσόν τ' ἀγγέλω *Ψ*, τὰ δ' ἄφωνα ἐν αὐτῷ | δισσὰ ἓν ἀγγέλλοντ'· *Alexandre*, τὰ δ' ἄφων' ὄντ' αὐτῷ | δισσά τοι ἀγγέλλω *Volkmann*, τὸ δ' ἄφωνον ἓν αὐτῷ | δισσόν· ἀπαγγέλλων *Ranconetus* 327 ἀριθμὸν δ' ὅλον] ἀριθμὸν (ἀριθμῶν *B*) δόλον *Φ* ἐξονομήνω] ἐξονόμηνα *Ranconetus* 328 δ' ἐπὶ ταύταις] ἐπὶ τούτοις *Φ* 329 ἀπληστοκόροις ἀνθρώποις] *cf. XIV 20* ἀπληστοκόρων ἀνθρώπων ἀπληστοκόροις] *ipse restitui*, ἀπιστοκόροις *Φ Ψ*, *cf. ad I 150* 330 σὺ δ' — νόησον] = *I 137* 331 παῖδ'] τὸν παῖδ' *Ψ* 332 πληρώσει δὲ] *Φ*, αὐτὸς πληρώσειε *olim dubitans proposuit Alexandre*, πληρώσει (πληρώσῃ *L*) *Ψ* 333 ἀντίτυπον—φέρων] = *VIII 270; vide ad I 33* καὶ—διδάξει] *cf. I 380* καὶ πάντα διδάξῃ 334 προσκομίσουσ'] προσκομίσουσιν *Ψ* προφέροντες] *Castalio*, προσφέροντες *Φ Ψ*

I σμύρναν, αὐτὰρ λίβανον· καὶ γὰρ τάδε πάντα ποιήσει.
ἀλλ' ὁπότ' ἂν φωνή τις ἐρημαίης διὰ χώρης
ἥξει ἀπαγγέλλουσα βροτοῖς καὶ πᾶσι βοήσει
εὐθείας ἀτραποὺς ποιησέμεν ἠδ' ἀπορίψαι
ἐκ κραδίης κακίας καὶ ὕδασι φωτίζεσθαι
πᾶν δέμας ἀνθρώπων, ἵνα γεννηθέντες ἄνωθεν
μηκέτι μηδὲν ὅλως γε παρεκβαίνωσι δικαίων·
τὴν δ' αὖ βαρβαρόφρων, πεπεδημένος ὀρχηθμοῖσιν,
ἐκκόψας δώσει μισθόν· τότε σῆμα βροτοῖσιν
ἔσσεται ἐξαπίνης, ὁπότ' ἂν πεφυλαγμένος ἥξει
ἐκ γῆς Αἰγύπτιοιο καλὸς λίθος· ἐν δ' ἄρα τούτῳ
λαὸς προσκόψει Ἑβραίων· ἔθνη δ' ἀγεροῦνται
αὐτοῦ ὑφηγήσει· καὶ γὰρ θεὸν ὑψιμέδοντα
γνώσονται διὰ τοῦδ' ἀτραπητόν τ' ἐν φαῒ κοινῷ.
δείξει γὰρ ζωὴν αἰώνιον ἀνθρώποισιν
ἐκλεκτοῖς, ἀνόμοις δὲ τὸ πῦρ αἰῶσιν ἐποίσει.
καὶ τότε δὴ νοσεροὺς ἰήσεται ἠδ' ἐπιμώμους
πάντας, ὅσοι τούτῳ πίστιν ἐνιποιήσονται.
βλέψουσιν δέ τε τυφλοί, ἀτὰρ χωλοὶ βαδίσουσιν,
κωφοί τ' εἰσαΐσουσι, λαλήσουσ' οὐ λαλέοντες.

336 sqq.] Es. 40, 3 Matth. 3, 3 Marc. 1, 3 Luc. 3, 4 sqq. Ioann. 1, 23 339] Ioann. 1, 26 Matth. 3, 11 Marc. 1, 8 Luc. 3, 16 Acta Apost. 1, 5; 11, 16 340] Ioann. 3, 3 345] Matth. 2, 15 (Osee 11, 1); Petr. Epist. I 2, 4 (cf. I 2, 6 sq.) 351] Matth. 15, 30 353] Es. 35, 5 Matth. 11, 5

336 ἐρημαίης διὰ χώρης] *cf. I 356* ἐρημαίῳ ἐνὶ χώρῳ 336] *ante hunc lacunam subesse suspicatus est Alexandre in ed. altera* 337 ἥξει] ἥξη Ψ βοήσει] βοήση Ψ 338 ἀπορίψαι] ἀπορρίψη Ψ, ἀπορρῖψαι *suspicatus est Nauck* 339—341] *cf. VIII 315—317* 339 κραδίης] καρδίης *A* κακίας] κακίην Ψ καὶ] *om. A B* ὕδασι φωτίζεσθαι] *cf. VIII 247* ὕδασι φωτίζων *VIII 271* ὕδασι βαπτίζων ὕδασι] *ipse correxi ex ll. cc.,* ὕδασι Φ, ὕδασί (ὕδασσί *F*) τε Ψ 340 ἵνα—ἄνωθεν] = *VIII 316* γεννηθέντες] γεννηθέντος Ψ 341 γε] *om.* Ψ παρεκβαίνωσι] πάρος ἐκβαίνωσι Ψ 342 πεπεδημένος] ὁ πεπεισμένος Ψ πεπεδημένος ὀρχηθμοῖσιν] μεμελημένος ὀρχηθμοῖο *Ludwich coll. II 341, quem locum cf.* 344 ἔσσεται ἐξαπίνης] *ipse scripsi, cf. I 164 XIII 88, 108,* ἔσσεται ἐξαίφνης Ψ, ἔσται ἐξαίφνης Φ πεφυλαγμένος] πεφυλαγμέν *A* ἥξει] *Alexandre,* ἥξῃ Φ Ψ 345 Αἰγύπτιοιο καλὸς] *an* Αἰγύπτου καλὸς*?* καλὸς λίθος] *cf. VIII 254* τὸν λίθον, ὅν περ ὑπέστη 348 διὰ τοῦδ' ἀτραπητόν τ'] *correxit Volkmann,* διὰ τοῦδε ἀταρπητόν τ' Φ, διὰ τοῦδε καὶ ἀτραπὸν Ψ ἐν φαῒ κοινῷ] = *III 494 Fragm. I 18;* ἐν φάει κοινῷ Ψ, ἐν φάει *(omisso* κοινῷ*)* Φ, φαῒ *restituit Opsopoeus* 349 ζωὴν αἰώνιον] αἰώνιον ζωὴν Φ 350 ἀνόμοις—ἐποίσει] *cf. VIII 228* ἀνόμους δὲ τὸ πῦρ αἰῶσιν ἐλέγξει ἐποίσει] *Castalio,* ἀποίσει Φ Ψ 351 καὶ—ἰήσεται] *cf. VI 13* νόσον ἀνθρώπων ἀπολύσει νοσεροὺς] νοσεροὺς τε Ψ 352 ὅσοι—ἐνιποιήσονται] *cf. III 74* ὅσοι τούτῳ πίστιν ἐνεποιήσαντο πίστιν ἐνιποιήσονται] πίστιν ἐνὶ ποιήσονται Φ, πίστιν τ' ἐνιποιήσονται Ψ 353 *sq.*] *cf. VIII 206 sq.* χωλῶν δὲ δρόμος ὠκύτατος καὶ κωφὸς ἀκούσει | καὶ τυφλοὶ βλέψουσι, λαλήσουσ' οὐ λαλέοντες βλέψουσιν] *P,* βλέψουσι *codd. cett.* δέ τε] δέ γε Ψ χωλοὶ βαδίσουσιν] *ipse scripsi,* βαδίσουσί τε χωλοί Φ, βαδιοῦσί τε (βαδισοῦσι *L*) χωλοί Ψ 354 εἰσαΐσουσι] Φ, εἰσαΐουσι *('praesente pro futuro posito') Volkmann,* εἰσακούσουσι Ψ λαλήσουσ'] *Betuleius in margine codicis P minio adscripsit (et edidit),* λαλήσ' *P in textu,* λαλήλουσι *A* Ψ οὐ λαλέοντες] δ' οὐ λαλέοντες Ψ, δ' *(superscripto* τ'*)* ἄφωνοι *A*

I δαίμονας ἐξελάσει, νεκρῶν δ' ἐπανάστασις ἔσται·
κύματα πεζεύσει· καὶ ἐρημαίῳ ἐνὶ χώρῳ
ἐξ ἄρτων ἅμα πέντε καὶ ἰχθύος εἰναλίοιο
χιλιάδας κορέσει πέντε, τὰ δὲ λείψανα τούτων
δώδεκα πληρώσει κοφίνους εἰς ἐλπίδα λαῶν.
καὶ τότε δ' Ἰσραὴλ μεμεθυσμένος οὐχὶ νοήσει,
οὐδὲ μὲν εἰσαΐσει βεβαρημένος οὔασι λεπτοῖς.
ἀλλ' ὁπότ' ἂν Ἑβραίοις ἥξει χόλος ὑψίστοιο
οἰστρομανὴς καὶ πίστιν ἀπ' αὐτῶν ἐξαφελεῖται,
οὐρανίου ὅτι παῖδα θεοῦ διεδηλήσαντο·
καὶ τότε δὴ κολάφους καὶ πτύσματα φαρμακόεντα
Ἰσραὴλ δώσει μυσαροῖς ἐνὶ χείλεσι τούτῳ.
ἐς δὲ τὸ βρῶμα χολὴν καὶ ἐς ποτὸν ὄξος ἄκρατον
δυσσεβέως δώσουσι κακῷ βεβολημένοι οἴστρῳ
στήθεα καὶ κραδίην, ἀτὰρ ὄμμασιν οὐκ ἐσορῶντες
τυφλότεροι σπαλάκων, φοβερώτεροι ἑρπυστήρων
θηρῶν ἰοβόλων, βαρέι πεπεδημένοι ὕπνῳ.
ἀλλ' ὅτ' ἂν ἐκπετάσῃ χεῖρας καὶ πάντα μετρήσῃ

355] Matth. 9, 28 Marc. 5, 1 Luc. 8, 26 νεκρῶν κτλ.] Matth. 11, 5 356] Matth. 14, 25 Marc. 6, 48 Ioann. 6, 19 357 sqq.] Matth. 14, 15 sqq., Marc. 6, 35 Luc. 9, 12 Ioann. 6, 5 365] Matth. 26, 67; 27, 30 Marc. 15, 19 367] Psalm. 68 (69), 22, cf. Matth. 27, 34 et 48 Ioann. 19, 29 et 37 369—371] cf. Es. 6, 9 sq. Matth. 13, 14 sq. Marc. 4, 12 Luc. 8, 10 Ioann. 12, 40 Acta Apost. 28, 26

355 ἐξελάσει] δ' ἐξελάσει *F* νεκρῶν δ' ἐπανάστασις ἔσται] = *VIII 205* 356] *om. Ψ* κύματα πεζεύσει] = *VI 13* ἐρημαίῳ ἐνὶ χώρῳ] *cf. I 336* ἐρημαίης διὰ χώρης 357—359] *cf. VIII 275—278* 357 ἅμα] *supplevit Castalio ex VIII 275, om. codd.* ἰχθύος] ἰχθύων *Ψ* εἰναλίοιο] *in Ψ additum est* θρέψει *omisso* κορέσει *verbo in versu sequente (glossema ad* κορέσει *referendum)* 358 κορέσει] *om. Ψ* 359 δώδεκα] δέκα δύο *Ψ* εἰς ἐλπίδα λαῶν] *ex VIII 278 restitui,* εἰς παρθένον ἁγνήν *Φ Ψ, quod ex VIII 270 interpolatoris manu in textum videtur intrusum esse;* Δημήτερος ἁγνῆς *fortasse legi posse monuit Turnebus* 359] *post hunc versum in Ψ legitur:* εἶτα πρὸς τοῖς εἰρημένοις ἐπάγει ἡ Ἐρυθραία τὰ περὶ τῆς ἐκμανοῦς καὶ ἀσυγγνώστου τῶν (ὧν *F*) κυριοκτόνων τόλμης καὶ τῆς διὰ τοῦτο γεγοννίας (γενομένης *Alexandre*) κινήσεως τοῦδε τοῦ παντὸς καὶ τῆς τῶν νεκρῶν (ἐκ τῶν νεκρῶν *suspicatus est Alexandre*) ἀναβιώσεως λέγουσα τάδε· 361 εἰσαΐσει] *Auratus,* αὐδήσει *Φ Ψ, aut* αὖθ' ἀίσει *aut* εἰσαΐσει *aut* ἐνθήσει *scribendum proposuit Turnebus,* αὖ θήσει *Meineke* βεβαρημένος] μεμεθυσμένος *ex versu priore P* 362—364] *suspecti videntur esse; post 386 collocandos censuit Volkmann* 362 ἥξει] *A,* ἥξῃ *codd. cett.* 363 ἀπ' αὐτῶν] *ipse dedi; quam coniecturam etiam Alexandre in ed. altera protulit;* ἑαυτῶν *Φ,* ἐξ αὐτῶν *Ψ* ἐξαφελεῖται] ἐξαφέληται *Volkmann* 364 οὐρανίου] *ipse scripsi,* οὐράνιον *Φ Ψ, cf. I 118* ὅτι] θ' ὅτι *Ψ* 365 *sq.] cf. VIII 288 sq.* δώσουσιν δὲ θεῷ ῥαπίσματα χερσὶν ἀνάγνοις | καὶ στόμασιν μιαροῖς ἐμπτύσματα φαρμακόεντα 365—368] *ab interpolatore christiano Iudaeis infesto profectos esse suspicatus est Volkmann (praeeunte Alexandro in Cur. poster.)*

365 καὶ πτύσματα] καὶ ἐμπτύσματα *Ψ, cf. VIII 289; an* κἀμπτύσματα? 366 μυσαροῖς ἐνὶ] *an* μυσαροῖσιν? 367 *sq.] cf. VIII 303* ἐς δὲ τὸ βρῶμα χολὴν καὶ πιέμεν ὄξος ἔδωκαν ἐς δὲ] εἰς δὲ *codd.* ἐς ποτὸν] εἰς ποτὸν *codd.* 368 βεβολημένοι] βολημένοι *Φ* 369 οὐκ ἐσορῶντες] οὐκ εἰσορῶντες *super* ει *scripto* ε *P,* οὐκ εἰσορῶντες *R,* οὐδὲν ὁρῶντες *Volkmann* 370 τυφλότεροι σπαλάκων] τυφλότερ' ἀσφαλάκων (ἀσπαλάκων *L*) *Ψ* 371 βαρέι] τε βαρέι (βαρεῖ *F*) *Ψ* 372] *cf. VIII 302* ἐκπετάσει χεῖρας καὶ κόσμον ἅπαντα μετρήσει

καὶ στέφανον φορέσῃ τὸν ἀκάνθινον ἠδέ τε πλευρὰν
νύξωσιν καλάμοισιν, ὅτου χάριν ἤματι μέσσῳ
νὺξ ἔσται σκοτόεσσα πελώριος ἐν τρισὶν ὥραις·
καὶ τότε δὴ ναὸς Σολομώνιος ἀνθρώποισιν
σῆμα μέγ' ἐκτελέσει, ὁπότ' ἂν Ἀιδωνέος οἶκον
βήσεται ἀγγέλλων ἐπαναστασίην τεθνεῶσιν.
αὐτὰρ ἐπὴν ἔλθῃ τρισὶν ἤμασιν ἐς φάος αὖτις
καὶ δείξῃ θνητοῖσι τύπον καὶ πάντα διδάξῃ,
ἐν νεφέλαις ἐπιβὰς εἰς οὐρανοῦ οἶκον ὁδεύσει
καλλείψας κόσμῳ εὐαγγελίης διάθημα.
τοῦ καὶ ἐπωνυμίῃ βλαστὸς νέος ἀνθήσειεν
ἐξ ἐθνῶν, μεγάλοιο νόμῳ καθοδηγηθέντες.
ἀλλά γε καὶ μετὰ ταῦτα σοφοὶ καθοδηγοὶ ἔσονται
καὶ τότε δὴ παῦσις ἔσται μετέπειτα προφητῶν.
  ἔνθεν ὅτ' ἂν Ἑβραῖοι τὸ κακὸν θέρος ἀμήσωνται,
πολλὸν δ' αὖ χρυσόν τε καὶ ἄργυρον ἐξαλαπάξει
Ῥωμαῖος βασιλεύς. μετὰ δ' αὖ βασιληίδες ἄλλαι
συνεχέως ἔσσονται ἀπολλυμένων βασιλειῶν

373] Matth. 27, 29 374] Ioann. 19, 34 375] Marc. 15, 33 Matth. 27, 45 Luc. 23, 44 376] Matth. 27, 51 Marc. 15, 38 Luc. 23, 45 379] Luc. 24, 46 380] Luc. 24, 40 381] Luc. 24, 51 Marc. 16, 19 Acta Apost. 1, 9 387] cf. Paul. Galat. 6, 7

373 *καὶ ἀκάνθινον] cf. VIII 294 καὶ στέφανον φορέσει τὸν ἀκάνθινον VI 23 sq. ἀλλ' ἀπ' ἀκάνθης | ἔστεψας στεφάνῳ ἠδέ τε πλευρὰν—καλάμοισιν] cf. VIII 296 πλευρὰς νύξουσιν καλάμῳ τε] scripsi, γε codd. 374 νύξωσιν] νύξωσι A, νήξωσι P B, νύξουσι Ψ ὅτου χάριν] Castalio, ὁμοῦ χάριν Φ Ψ ἤματι—ὥραις] = VIII 305 sq., cf. XII 74 νὺξ ἔσται σκοτόεσσα μέσῃ ἐνὶ ἤματος ὥρῃ ἤματι μέσσῳ] e clausula versus proximi hic collocavi, cf. VIII 305 sq., ἐν τρισὶν ὥραις Φ Ψ 375 ἐν τρισὶν ὥραις] e clausula versus superioris transposui, ἤματι μέσσῳ Φ Ψ 376 καὶ τότε—ἐκτελέσει] cf. VIII 305 ναοῦ δὲ σχισθῇ τὸ πέτασμα ναὸς] λαὸς Ψ Σολομώνιος] σολομώνειος Ψ 377 ἐκτελέσει] ἐκτελέσῃ Ψ ὁπότ' ἂν—τεθνεῶσιν] cf. VIII 310 ἥξει δ' εἰς Ἀίδην ἀγγέλλων ἐλπίδα πᾶσιν | τοῖς ἁγίοις Ἀιδωνέος] αἰδῶ νεὼς F, αἰδῶν ἑώς R, ἐδῶν ἑώς L οἶκον] οἴκω Ψ 378 ἀγγέλλων] F L, ἀγγέλων Φ R, ἀγγελέων Castalio, cui adstipulatus est Meineke, sed cf. VIII 310 ἐπαναστασίην] Meineke, ἐπανάστασιν Φ, ἐπ' ἀνάστασιν Ψ τεθνεῶσιν] τεθνειῶσιν P 379] cf. VIII 312 sq. τρίτον ἦμαρ ὑπνώσας· | καὶ τότ' ἀπὸ φθιμένων ἀναλύσας ἐς φάος ἥξει ἐς] εἰς Alexandre 380 δείξῃ] A Ψ, δείξει P B θνητοῖσι] θνητοῖσιν Φ, om. Ψ τύπον] Ψ, ὕπνον Φ, quod placuit Opsopoeo, qui interpretatus est 'mortem Christi solum somnum fuisse' καὶ πάντα διδάξῃ] cf. I 333 καὶ πάντα διδάξει διδάξῃ] διδάξει superscripto η A 381 ἐν] καὶ Ψ οὐρανοῦ] οὐράνιον Ψ ὁδεύσει] A, ὁδεύσῃ codd. rett. 382] inde ab hoc versu usque ad III 106 omnia desiderantur in B, in quo libro aliquot folia interciderunt καλλείψας] Castalio, καλύψας Φ Ψ διάθημα] Castalio, cf. Lobeckium ad Phrynich. p. 249, διάστημα P, διάδημα codd. cett. 384 ἐξ ἐθνῶν . . . καθοδηγηθέντες] ἐξ ἐθνῶν . . . καθοδηγηθέντων Turnebus. an ἐξ ἔθνους . . . καθοδηγηθέντος? 385 γε καὶ] om. Ψ σοφοὶ] Meineke, quod Opsopoeus se in codice regio (R) legisse adnotavit oculis falsus, σόλοι Φ Ψ, Σόλοι (Hierosolyma) Opsopoeus, στόλοι (= ἀπόστολοι) Fabricius bibl. gr. tom. I p. 201 καθοδηγοὶ ἔσονται] = III 195 387 ἔνθεν ὅτ' ἂν] Ψ, 'an verius ἔνθ' ὁπότ' ἂν?' Alexandre coll. III 77; ἐντεῦθεν δ' ὅταν Φ τὸ] om. Ψ 388] = III 179 389 ἄλλαι] Opsopoeus, ἄλλοι Φ Ψ 390 βασιλειῶν] βασιλήων R*

I καὶ θλίψουσι βροτούς. μέγα δ' ἔσσεται ἀνδράσι κείνοις
πτῶμ', ὁπότ' ἂν ἄρξωνθ' ὑπερηφανίης ἀδίκοιο.
ἀλλ' ὁπότ' ἂν ναὸς Σολομώνιος ἐν χθονὶ δίῃ
καππέσεται βληθεὶς ἀνδρῶν ὕπο βαρβαροφώνων
χαλκεοθωρήκων, Ἑβραῖοι δ' ἀπὸ γῆς ἐλάσονται
πλαζόμενοι κεραϊζόμενοι, πολλὴν δέ τοι αἶραν
ἐν σίτῳ μίξουσι, κακὴ στάσις ἔσται ἅπασιν
ἀνδράσιν· αἱ δὲ πόλεις ὑβριζόμεναι παρ' ἕκαστα
ἀλλήλας κλαύσουσιν, ἐπεὶ κακὸν ἤλιτον ἔργον
δεξάμεναι μεγάλοιο θεοῦ χόλον ἐν κόλποισιν.

391 *sq.*] = *III 182 sq.* θλίψουσι] θλίψει Ψ 392 πτῶμ' ὁπότ' ἂν] πτῶμ' ὅταν *Castalio* ἄρξωνθ'] *correxi ex III 183*, ἄρξωνται Φ Ψ 393 ναὸς] νηὸς Ψ Σολομώνιος] σολομώνειος Ψ δίῃ] *scripsi*, δίᾳ *codd.* 394 καππέσεται βληθεὶς] *Alexandre*, καππεσσεῖται (καμπεσσεῖται *A*) βληθεὶς Φ, παππεσέηται βληθεὶς Ψ, βληθεὶς καππεσέηται *suspicati sunt anonymus Londin. et Volkmann* ἀνδρῶν ὕπο βαρβαροφώνων] = *XIV 82*, (*cf. III 516* ἀνδρῶν βαρβαροφώνων *III 528* ὑπ' ἐχθρῶν βαρβαροφώνων); *correxit Meineke*, ὑπ' ἀνδρῶν βαρβαροφώνων Φ Ψ ἀνδρῶν] *an* ἐχθρῶν *ut III 528?* 395 χαλκεοθωρήκων] χαλκοθωρήκων *P*, χαλκοθωρήκτων Ψ ἐλάσονται] ἐλάσονται *P*, ἐλάσσονται *A*, ἐλάσωνται Ψ, ἐλαθῶσιν *proposuit Volkmann* 396 κεραϊζόμενοι] κερμιζόμενοι *A* αἶραν] αἴραν Φ 397 μίξουσι] μίξουσιν *A*, μίξωσι *coniecit Volkmann* κακὴ—ἀνδράσιν] *desunt in A* 399 ἀλλήλας κλαύσουσιν] *cf. I 181* οὐ κλαίετ' ἄλλυδις ἄλλον ἐπεὶ—ἔργον] *cf. II 304* ὅσον κακὸν ἤλιτον ἔργον ἤλιτον ἔργον] ἤμιτον ἔργον *P*, *om. A*, *qui nihil nisi* ἠ *habet*

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

II Ἦμος δὴ κατέπαυσε θεὸς πάλι πάνσοφον ᾠδὴν
πολλὰ λιταζομένης, καί μοι πάλιν ἐν στήθεσσιν
ἔνθετο θεσπεσίων ἐπέων πολυγηθέα φωνήν.
πᾶν δέμας ἐκπληχθεῖσα τάδ᾽ ἕσπομαι· οὐδὲ γὰρ οἶδα
ὅττι λέγω, κέλεται δὲ θεὸς τὰ ἕκαστ᾽ ἀγορεύειν.
ἀλλ᾽ ὁπότ᾽ ἂν ἐπὶ γῆς σεισμοὶ μαλεροί τε κεραυνοὶ
βρονταί τ᾽ ἀστεροπαί τ᾽ ὄμβροι τε κακή τ᾽ ἐρυσίβη
καὶ μανίη θώων τε λύκων τ᾽ ἀνδροκτασίαι τε
καὶ φθοραὶ ἀνθρώπων τε, βοῶν δέ τε μυκομενάων
τετραπόδων κτηνῶν τε καὶ οὐρήων ταλαεργῶν
ἠδ᾽ αἰγῶν οἴων τε· ἔπειτα δὲ χέρσος ἄρουρα
πολλὴ καλλειφθεῖσα γενήσεται ἐξ ἀμελείης
καὶ καρποὶ λείψουσιν, ἐλευθεροπρασία δ᾽ ἔσται
πλείστοις ἐν μερόπεσσι καὶ ἱεροσυλία ναῶν.

Λόγος δεύτερος] abest a codd.; attamen liber hic a priore discernitur interiecto indice: περὶ ἑλλήνων καὶ περὶ (hanc vocem om. A) θεοῦ καὶ περὶ ἁγίων καὶ περὶ κρίσεως (ἱερίων pro περὶ κρίσεως A) Φ; ὡσαύτως καὶ τοὺς πολυθείαν νοσοῦντας (γοοῦντας R) ἐλέγχει τούς τε (τ᾽ L) ἀδίκους καὶ ἁμαρτωλούς· καὶ συμβουλεύει (recte L m. rec., συμβασιλεύει Ψ) ὡς συγγενὴς (legendum cum Alexandro, συγγενεῖς Ψ) τὸν ἕνα καὶ μόνον σέβειν θεόν. εἶτα παροιμιάζει τὴν ἄθλησιν τῶν ἁγίων. καὶ τελευταῖον περὶ τοῦ φρικτοῦ βήματος τοῦ σωτῆρος ἡμῶν φησι λέγουσα τάδε· Ψ 1] cf. III 295, 489 ἡνίκα δή μοι θυμὸς ἐπαύσατο ἔνθεον ὕμνον II 346 ἤδε δ᾽ ἐγὼ λίτομαί σε βαιὸν παῦσαί μέ γ᾽ ἀοιδῆς ἦμος δὴ] correxit Opsopoeus, cf. ἡνίκα δή III 295, 489 ἦμος δή Hesiod. Op. 414, 679 τῆμος δή Scut. 398 Hom. μ 441, ἦμος δὲ Φ Ψ κατέπαυσε] κατέπαυε P πάλι πάνσοφον] Meineke, πολυπάνσοφον Φ Ψ 3 ἔνθετο] κεύθετο Ψ θεσπεσίων ἐπέων] cf. XII 299 θεσπεσίοις ἔπεσιν 4 πᾶν] πᾶν δὲ Ψ ἐκπληχθεῖσα] πληχθεῖσα Ψ τάδ᾽ ἕσπομαι] τάδ᾽ ἔσπομαι Ψ, τάδε σπῶμ᾽ Φ οὐδὲ—λέγω] cf. XII 295 οὐδὲ γὰρ οἶδα | οἷα λέγω; vide Platon. Menon. p. 387 οὐδὲ] ex XII 295 dedi idque etiam Meineke probavit, οὔτε Φ Ψ 5 κέλεται—ἀγορεύειν] cf. I 5 κέλεταί με λέγειν θεός III 7 ὅσσα θεὸς κέλεταί μ᾽ ἀγορευέμεν ἀνθρώποισιν XIII 1 sq. θεσπέσιόν με λόγον κέλεται μέγαν αὖτις ἀείδειν | ἀθάνατος ἅγιος θεὸς ἄφθιτος; praeterea cf. III 298, 491 τὰ] τάδ᾽ Ψ 6 σεισμοὶ] σησμοὶ P 7 ἀστεροπαί—ἐρυσίβη] ipse temptavi, ἀστεροπαί τε γῆς ἐρυσίβη Φ, ἀστεροπαὶ καὶ γῆς ἐρυσίβη σεισμοὶ Ψ (σεισμοί ex versu antecedente); ἀστεροπαί τε καὶ ἐκ γαίης ἐρυσίβη Huetius, aut φλογμοὶ ex VIII 180 aut τ᾽ αὐχμοὶ ex III 753 supplendum esse censuit Alexandre 8 λύκων τ᾽] τ᾽ addidit Opsopoeus, om. Φ Ψ 9 τε, βοῶν δέ τε μυκομενάων] Turnebus, ἢ καὶ βοῶν μυκομενάων (μυκωμένων Ψ) Φ Ψ, ταύρων τε βοῶν τ᾽ ἐριμύκων anonymus Londin. 10 τετραπόδων] καὶ τετραπόδων Ψ ταλαεργῶν] ται . . αεργῶν (sic) P 11 οἴων τε] καὶ οἰῶν τε Ψ 12 καλλειφθεῖσα] Castalio, καλυφθεῖσα (καλλυφθεῖσα P) Φ Ψ ἀμελείης] ἀμελείας codd. 13 ἐλευθεροπρασία] ἐλευθεροπραξία Opsopoeus; (de α correpto cf. Alexandre Excurs. ad Sib. 603) 14 καὶ—ναῶν] = XIII 12 ἱεροσυλία] Castalio coniecit, ἱεροσυλίαι Φ, ἱεροσυλλίαι Ψ

II καὶ τότε δὴ γενεὴ δεκάτη μετὰ ταῦτα φανεῖται
ἀνθρώπων, ὁπότ' ἂν σεισίχθων ἀστεροπητὴς
εἰδώλων ζῆλον θραύσει λαόν τε τινάξει
Ῥώμης ἑπταλόφοιο, μέγας δέ τε πλοῦτος ὀλεῖται
δαιόμενος πυρὶ πολλῷ ὑπὸ φλογὸς Ἡφαίστοιο.
καὶ τότε δ' αἱματόεσσαι ἀπ' οὐρανόθεν καταβᾶσαι

* * *

αὐτὰρ κόσμος ὅλος περ ἀπειρεσίων ἀνθρώπων
ἀλλήλους κτενέουσι μεμηνότες, ἐν δὲ κυδοιμῷ
λιμοὺς καὶ λοιμοὺς θήσει θεὸς ἠδὲ κεραυνοὺς
ἀνθρώποις, οἳ ἄτερθε δίκης κρίνουσι θέμιστας.
λεῖψις δ' ἀνθρώπων ἔσται κατὰ κόσμον ἅπαντα,
ὡς, ἴχνος εἰ κατίδοι τις ἐπὶ χθονί, θαυμάσσειεν,
ἀνθρώπου. τότε δ' αὖτε μέγας θεὸς αἰθέρι ναίων
ἀνδρῶν εὐσεβέων σωτὴρ κατὰ πάντα γένηται.
καὶ τότε δ' εἰρήνη τε βαθεῖά τε σύνεσις ἔσται,
καὶ γῆ καρποφόρος καρποὺς πάλι πλείονας οἴσει
οὐδὲ μεριζομένη οὐδ' εἰσέτι λατρεύουσα.
πᾶς δὲ λιμήν, πᾶς ὅρμος ἐλεύθερος ἀνθρώποισιν
ἔσσεται, ὡς πάρος ἦεν, ἀναιδείη τ' ἀπολεῖται.
  καὶ τότε δὴ μέγα σῆμα θεὸς μερόπεσσι ποιήσει·
λάμψει γὰρ στεφάνῳ λαμπρῷ παρομοίιος ἀστὴρ

15] *cf. III 108 XI 14 καὶ τότε δὴ δεκάτη γενεὴ μερόπων ἀνθρώπων* καὶ τότε δὴ] *ipse transposui,* δὴ τότε καὶ *codd.* 17 ζῆλον θραύσει] ζῆλος θραύση *Ψ* τινάξει] τινάξῃ *Ψ* 18 Ῥώμης ἑπταλόφοιο] = *XIV 108, cf. XIII 45 ἑπταλόφῳ Ῥώμῃ* πλοῦτος ὀλεῖται] = *III 270* 19 δαιόμενος] *Ψ,* δευόμενος *Φ* Ἡφαίστοιο] ὑφαίστοιο *P* 20] *cf. XII 56 sq. ἀπ' οὐρανοῦ αἱματόεσσαι | ῥεύσουσιν ψεκάδες XIV 89 sq. ψεκάδες ῥεύσουσ' ἐπὶ γαῖαν | πυκναὶ καὶ θαμέαι ἐξ οὐρανοῦ αἱματόεσσαι* αἱματόεσσαι] ἡματόεσσαι *Φ,* αἵματος ἕρσαι *coniecit anonymus Londin.* (ἕρσαι *proposuit etiam Turnebus*) ἀπ' οὐρανόθεν] *anonymus Londin., cf. II 39,* ἀπ' οὐραν(ου *Φ,* ἀπ' οὐρανοῦ *Ψ* 20] *unius versus lacuna subest, cuius initium fuisse* ῥεύσουσιν ψεκάδες *(cf. XII 57) suspicatus est Alexandre* 21 κόσμος—ἀνθρώπων] = *I 189, cf. I 162 κόσμος ὅλος ἀπερείσιος ἀνδρῶν* περ] *ipse conieci,* τε *Φ, om. Ψ* 22 ἀλλήλους κτενέουσι] = *XIV 93* κτενέουσι] *ipse correxi ex l. c.,* κτείνουσι *Φ Ψ* 23 λιμοὺς καὶ λοιμοὺς] *Ψ,* λοιμοὺς καὶ λιμοὺς *Φ, cf. III 332 λιμοῦ καὶ λοιμοῦ* 24 ἄτερθε] ἄτερ (ἄπερ *L*) *Ψ* 25 λεῖψις] λείψις *A,* λείψιν *P* 26 κατίδοι] κατίδῃ *Φ* θαυμάσσειεν] θαυμάσειεν *A Ψ,* θαυμάσσειασ *P* 27 αἰθέρι ναίων] = *II 177* 28 εὐσεβέων] εὐσαέων *P,* εὐσεβείων *S* 29] *cf. III 755 XI 79* βαθεῖά τε] βαθεῖα καὶ *Ψ* 30 sq.] *cf. II 319 sq. VIII 209 sq. γαῖα δ' ἴση πάντων, οὐ τείχεσιν, οὐ περιφραγμοῖς | ἐκπρομεριζομένη καρποὺς τότε πλείονας οἴσει* 30] *cf. XI 238 γῆ δὲ μελάμβωλος καρποὺς τότε πλείονας ἕξει* πάλι] *Castalio,* πάλιν *Φ Ψ* οὐδὲ μεριζομένη] οὐ διαμεριζομένη *Ψ* 33 ἔσσεται—ἦεν] = *III 294, cf. XIV 48 ἔσσεται, ὡς τὸ πρὶν ἦεν* ἔσσεται] ἔσσεθ' *Ψ* ὡς πάρος ἦεν] = *VII 145, cf. XI 77 ἣ πάρος ἦεν 214 ὡς τὸ πρὶν ἦσθα* ὡς] ὥσπερ *A* ἦεν] ἦεν καὶ *Ψ* 34] *cf. XIV 220 ἀλλ' ὁπότ' ἂν μέγα σῆμα θεὸς μερόπεσσι ποιήσῃ XIV 158 καὶ τότε δὴ μέγα σῆμα θεὸς μερόπεσσι βροτοῖσιν | οὐρανόθεν δείξει* μερόπεσσι] *ipse correxi ex l. c.,* μετέπειτα *Φ Ψ* 35 sq.] *cf. XII 30 sq. ἀλλ' ὁπότ' ἂν ἀστὴρ παντείκελος ἠελίοιο | λαμπρὸς ἀπ' οὐρανόθεν προφανῇ ἐνὶ ἤμασι μέσσοις XIV 180 sq. οὐρανόθεν στέφανοι μεσσημβρίης τε καὶ ἄρκτου | ἀστράσι φαινομένοις πανομοίιοι ἀντείλωσιν* παρομοίιος] *an* πανομοίιος?

II λαμπρὸς παμφαίνων τε ἀπ' οὐρανοῦ αἰγλήεντος
ἤμασιν οὐκ ὀλίγοις· τότε γὰρ στέφος ἀνθρώποισιν
δείξει ἀπ' οὐρανόθεν ἐναγώνιον ἀθλεύουσιν.
καὶ τότε μὲν μέγας αὖτις ἀγὼν ἐσελαστικὸς ἔσται
ἐς πόλον οὐράνιον, οἰκουμενικὸς δέ τε πᾶσιν
ἔσσεται ἀνθρώποισιν ἔχων κλέος ἀθανασίης.
καὶ τότε δὴ πᾶς λαὸς ἐπ' ἀθανάτοισιν ἀέθλοις
ἀθλήσει νίκης περικαλλέος. οὐ γὰρ ἀναιδῶς
ἀργυρίου τις ἐκεῖ δύναται στέφος ὠνήσασθαι.
ἁγνὸς γὰρ Χριστὸς τούτοις τὰ δίκαια βραβεύσει
καὶ δοκίμους στέψει, αὐτὰρ θέμα μάρτυσι δώσει
ἀθάνατον ἐσάχρις θανάτου τὸν ἀγῶνα ποιοῦσιν.
παρθενικοῖς δὲ δραμοῦσι καλῶς ἄφθαρτον ἄεθλον
δώσει τοῦ θέματος καὶ τοῖς τὰ δίκαια νέμουσιν
ἀνθρώποις πᾶσίν τε καὶ ἔθνεσιν ἀλλοδαποῖσιν
τοῖς ὁσίως ζώουσι, θεὸν δ' ἕνα γινώσκουσιν.
οἳ δὲ γάμους ἀγαπῶσι γαμοκλοπιῶν τ' ἀπέχονται,
καὶ τοῖς πλούσια δῶρ', αἰώνιον ἐλπίδα δώσει.
πᾶσά τε γὰρ ψυχὴ μερόπων θεοῦ ἐστι χάρισμα,
κοὐ θέμις ἀνθρώπους τὴν πᾶσ' αἴσχεσσι μιαίνειν.

37] Paul. Corinth. I 9, 24 39] Paul. Hebr. 12, 1 45 sqq.] Paul. Timoth. II 4, 7 sq. 48] Paul. Corinth. I 9, 25

36 *λαμπρὸς παμφαίνων τε] ipse temptavi, λαμπρὸς παμφαίνων Φ, λαμπρῶς παμφαίνων Ψ ἀπ' οὐρανοῦ] (παμφαίνων) ἀπὸ οὐρανοῦ anonymus Londin., quem secutus est Alexandre 37 τότε γὰρ στέφος] τότε γὰρ στέφανος A, τὸ γὰρ στέφος Ψ; an τόδε γὰρ στέφος? ἀθλεύουσιν] ἀεθλεύουσι Ψ 39 καὶ τότε μὲν] ipse scripsi, καὶ τόθμαι P, καὶ τό . . θμαὶ A, καὶ τότε γὰρ Ψ, καὶ τότε δὴ Turnebus μέγας αὖτις ἀγὼν] Turnebus, μέγας γὰρ αἰὼν Φ, μέγας αἰὼν Ψ, μέγας οὗτος ἀγὼν Alexandre, μέγας ἆθλος. ἀγὼν Meineke ἐσελαστικὸς] corrigendum esse vidit Opsopoeus, εἰσελαστικὸς Φ (εἰσελευστικὸς P, α superscripto), εἰσελλαστικὸς Ψ 40 ἐς πόλον οὐράνιον] dedi praeeunte Volkmanno, cf. II 200 III 86 καὶ πόλον οὐράνιον. VIII 339 καὶ πόλος οὐράνιος; εἰς πόλιν οὐράνιον Φ, εἰς πόλιν οὐράνιόν γ' Ψ, εἰς πόλιν οὐρανίην suspicatus est Alexandre 41 ἔσσεται] ἔσσετ' Φ ἀθανασίης] voluit Alexandre (cf. II 150), ἀθανασίας Φ Ψ 42 καὶ—ἐπ'] anonymus Londin., καὶ τότε πᾶς λαὸς ἐπ' Ψ, καὶ τότε πᾶς λαὸς ἐπὶ Φ, καὶ σύμπας τότε λαὸς ἐπ' Nauck 43 περικαλλέος] περικαλέος Φ οὐ] εὐ P*
44 ἀργυρίου] ἀργύρεον Φ 47 ἐσάχρις θανάτου] ipse scripsi, ἄχρι καὶ θανάτου Φ, τ' ἄχρι θανάτου Ψ, καὶ ἄχρι (restituendum esset ἄχρις) θανάτου Opsopoeus ποιοῦσι] πο οῦσι (sine rasura, sed parvo intervallo inter utrumque o interposito) F 48 ἄφθαρτον] ἄφθαρτον τ' L R 49 τοῦ θέματος] τοῦτ' ἄθλον Ψ τὰ δίκαια νέμουσιν] cf. I 272. 295 τὰ δίκαια νέμοντες 50 πᾶσίν τε] πᾶσι τε Ψ, an πάντεσσι? 51 ζώουσι] Ψ, ζῶσίν τε Φ θεὸν δ'] θεόν θ' Bergk 52 οἳ—ἀγαπῶσι] ipse scripsi, ἠδ' ἀγαπῶσι γάμον (γάμον superscripto ων A) τε Φ Ψ, οἳ δ' ἀγαπῶσι γάμον τε Betuleius γαμοκλοπιῶν τ'] γαμοκλοποιῶν τ' L R, γαμοκλοπιῶν δ' Alexandre 53 καὶ τοῖς...δώσει] ipse transposui, δώσει...καὶ τοῖς Φ Ψ πλούσια δῶρ'] πλούσια δῶρα Φ (δῶρα elisit Alexandre), δῶρα γε (τε F) τήν τ' Ψ 54] an πᾶσαι γὰρ ψυχαὶ μερόπων θεοῦ εἰσι χάρισμα (et in versu proximo αὐτὰς)? 55 τὴν πᾶσ' αἴσχεσσι] ipse scripsi, τὴν ἄλγεσι πᾶσι Φ Ψ, ἄγεσι coniecit Castalio, unde quispiam τὴν πᾶσιν ἄγεσσι suspicetur; ἄγεσ' αὐτὴν πᾶσι anonymus Londin.

II [μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν.
ἀρκεῖσθαι παρεοῦσι καὶ ἀλλοτρίων ἀπέχεσθαι.
ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντα φυλάσσειν.
μηδὲ μάτην εἴδωλα σέβου· τὸν δ' ἄφθιτον αἰεὶ
πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.
πάντα δίκαια νέμειν, μηδ' εἰς ἄδικον κρίσιν ἔλθῃς.
μὴ ῥίψῃς πενίην ἀδίκως, μὴ κρῖνε προσώπῳ·
ἢν σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσσει.
μαρτυρίην ψευδῆ φεύγειν, τὰ δίκαι' ἀγορεύειν.
παρθενίην τηρεῖν· ἀγάπην δ' ἐν πᾶσι φυλάσσειν.
μέτρα νέμειν τὰ δίκαια· καλὸν δ' ἐπίμετρον ἅπασιν.
σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἕλκειν.
μὴ δ' ἐπιορκήσῃς μήτ' ἀγνὼς μήτε ἑκοντί·

62] Deuteron. 1, 17 (7, 10; 16, 19) Levit. 19, 15 Proverb. 24, 23 66] cf. Levit. 19, 36 Deuteron. 25, 14

56—148] *om.* Φ, *habet* Ψ; *sunt versus paene omnes e Pseudophocylideo carmine inserti, quos quidem Suidas a Phocylide Sibyllae surreptos esse tradidit* ('εἰσὶ δ' ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμένα') 56] = *Pseudophoc.* 5 *B.*[4] 57] *cf. Pseudophoc.* 6 *B.*[4] παρεοῦσι καὶ] παρ' ἑοῖς, τῶν δ' *in Pseudophocylide scripsit Bergk ex Gregor. Cor.* 425 (*cf. Etym. M.* 635, 40 *not. et Favorin.* 197 *idem, nisi quod* παρ' ἑοῖσι), *e codicibus Pseudophocylidis habet Va (Vaticanus)* παρ' ἑοῖσι τῶν δ', *ceteri* παρεοῦσι καὶ *velut Sibyllini* 58] *cf. Pseudophoc.* 7 *B.*[4] ψεύδεα] ψεύδαια *L* πάντα φυλάσσειν] Ψ, πάντ' ἀγορεύειν *Pseudophoc.* 59] *de suo addidit Sibyllista, unde* πρῶτα *male post* τὸν δ' ἄφθιτον αἰεὶ *positum esse vidit Bernays Ueber d. phokyl. Gedicht p. XX* 60] = *Pseudophoc.* 8 δὲ] *Pseudophoc., om. codd. Sibyll. (ex Phocylideis A 3,* καὶ *II)* 61] *cf. Pseudophoc.* 9 πάντα] πᾶσι *edidit Bergk,* πάντα *pars codicum Pseudophoc.* νέμειν] νέμων *pars codd. Pseudophocyl.* μηδ'—ἔλθῃς] μηδὲ κρίσιν ἐς χάριν ἕλκε *Pseudophoc.* (ἕλκε *V a V 1 2 P,* ἕλκειν *ceteri)* εἰς ἄδικον κρίσιν] *ipse transposui,* εἰς κρίσιν ἄδικον Ψ εἰς—κρίσιν ἔλθῃς] *cf. II 94* ἐς κρίσιν ἐλθών 62] *cf. Pseudophoc.* 10 μὴ ῥίψῃς] μὴ ῥέψῃς *in Pseudophocylide scribendum coniecit Bergk* '*i. e. iudicem cavere oportet, ne praeter ius atque fas pauperis caussa superior fiat*' *coll. Exod.* 23, 3 καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει *Levit.* 19, 15 οὐ ποιήσετε ἄδικον ἐν κρίσει, οὐ λήψῃ πρόσωπον πτωχοῦ, οὐδὲ μὴ θαυμάσῃς πρόσωπον δυνάστου; μὴ θλίψῃς *Bernays in Pseudophoc. (contra dicente Bergkio)* ἀδίκως, μὴ] ἀδίκως μὴ *ex codicum Pseudophoc. parte maiore amplexus est Bernays* προσώπῳ] πρόσωπων *Pseudophoc.* 63] = *Pseudophoc.* 11 σὲ θεὸς μετέπειτα] *Pseudophoc.,* μετέπειτα θεός σε Ψ δικάσσει] *pars codicum Pseudophoc.,* δικάσει Ψ *et ceteri Pseudophoc.* 64] = *Pseudophoc.* 12 ψευδῆ] *Pseudophoc.,* ψευδὴν Ψ τὰ δίκαι' ἀγορεύειν] *pars codicum Pseudophoc.,* τὰ δίκαια δ' ἀγορεύειν Ψ *et ex Pseudophoc. unus M b,* τὰ δίκαια βραβεύειν *codices ceteri Pseudophoc. (M V B V 34), cf. Sib. II 45* τὰ δίκαια βραβεύσει 65] *cf. Pseudophoc.* 13 παρθενίην] Ψ *et Pseudophocylidei omnes,* παρθεσίην (= παραθήκην) *in Pseudophocyl. coniecit Bernays,* συνθεσίην *maluit Bergk, qui* παρθενίην *ex interpolatione natum esse censuit; in Sibyllinis vero nihil mutandum est* ἀγάπην] πίστιν *in Pseudophoc. edidit Bergk e codd. M V 134* ἐν] ἐπὶ *e codd. Pseudophocylideis B V 13* φυλάσσειν] φύλασσε *codd. Pseudophoc. B M a* 66] = *Pseudophoc.* 14 καλὸν δ' ἐπίμετρον] καλὸν δ' ἐπὶ μέτρον *codicum Pseudophoc. pars magna* ἅπασιν] ἁπάντων *codd. Pseudophoc. M B V 3 4,* ἅπαντα *T V 1 A 2,* ἅπασι *et* ἅπαντα *V a,* ἐπαντλεῖν *in Phocylide coniecit Bernays* καλὸν—ἅπασιν] καλῶν δ' ἐπίμετρον ἁπάντων *in Pseudophocyl. scribendum esse suspicatus est Goram* 67] = *Pseudophoc.* 15 68] = *Pseudophoc.* 16 μὴ δ'] μήτ' *volgo codd. Phocyl.* μητ' ἀγνὼς] μηθ' ἀγνὼς *F (Sibyll.),* μήθ' ἀγνῶς *e Pseudophoc. V 2* μήτε ἑκοντί] *in Sibyll. correxit Opsopoeus,* μήθ' ἑκοντί Ψ, *ex Pseudophoc. A 2 3,* μητ' ἑκοντί *M b A 1,* μήτ' ἐθελοντί *V 1;* μήτ' εἰκαῖος *audacter Bernays in Pseudophocylide coniecit*

II ψεύδορκον στυγέει θεός, ὅττι κεν ἄν τις ὀμόσσῃ.
ἐξ ἀδίκων ἔργων δῶρον χερὶ μή ποτε δέξῃ.
σπέρματα μὴ κλέπτειν· ἐπαράσιμος ὅς τις ἕληται
ἐς γενεὰς γενεῶν, ἐς σκορπισμὸν βιότοιο.
μὴ ἀρσενοκοιτεῖν, μὴ συκοφαντεῖν, μήτε φονεύειν.
μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.
ὀρφανικοῖς χήραις τ' ἐπιδευομένοις τε παράσχου.
γλώσσῃ νοῦν ἐχέμεν· κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
μήτ' ἀδικεῖν ἐθέλοις μήτ' οὖν ἀδικοῦντας ἐάσῃς.
πτωχοῖς εὐθὺ δίδου μηδ' αὔριον ἐλθέμεν εἴπῃς.
ἱδρῶσιν σταχύων χειρὶ χρῄζοντι παράσχου.
ὃς δ' ἐλεημοσύνην παρέχει, θεῷ οἶδε δανείζειν.
ῥύεται ἐκ θανάτου ἔλεος, κρίσις ὁππότ' ἂν ἔλθῃ.

73 μὴ ἀρσενοκοιτεῖν] Paul. Corinth. I 6, 9 Timoth. I 1, 10 μὴ συκοφαντεῖν] Luc. 3, 14 74] Deuteron. 24, 14 Levit. 19, 13 75] Sirach. 21, 25 sq. 80] Proverb. 19, 17 81] Iacob. Epist. 2, 13

69] *cf. Pseudophoc. 17* ὅττι κεν ἄν τις] ἄμβροτος ὅς τις *Pseudophoc.* 70] *non legitur in carmine Pseudophocylideo; tamen eum qui versus in Sibyllina transtulerit hunc (vel similem) in suo libro repperisse censuit Bergk* ἐξ ἀδίκων ἔργων] = *II 272* χερὶ] *Opsopoeus,* χειρὶ *Ψ* 71] = *Pseudophoc. 18* σπέρματα] τέρματα *in Pseudophocylide primitus scriptum fuisse contendit Bernays coll. Deuteron. 27, 17* ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον; *Sibyllistam vero* σπέρματα *in exemplo suo invenisse ipse exposui* ἕληται] *codd. Pseudophoc. V a et P additum habent* γρ. ἀρεῖται; ἀρεῖται *(pro* ἕληται) *legitur in A 1 2 3 H,* ἄρηται *in M a* 72] *abest a Pseudophocylideis versus inficetus ab interpolatore ipso intrusus* ἐς γενεὰς] εἰς γενεὰς *codd.* ἐς σκορπισμὸν] ἐς *supplevi, om. Ψ,* διὰ *Alexandre metro claudicante* 73] *hunc quoque versum frigidum de suo addidit interpolator* μὴ ἀρσενοκοιτεῖν] *v. Pseudophocyl. 3* μήτ' ἄρσενα Κύπριν ὀρίνειν; *cf. Sib. III 764* μοιχείαν πεφύλαξο καὶ ἄρσενος ἄκοιτον εὐνήν μὴ] *Alexandre,* μήτ' *Ψ* 74] = *Pseudophoc. 19* μὴ θλῖβε πένητα] *cf. III 630* καὶ μηδένα θλῖβε 75] *non legitur in Pseudophocylideis, fictus ad exemplum versus II 89; post 74 transposui, quod etiam Bergkio rectius videbatur esse; post sequentem (76) collocatum habet Ψ* χήραις τ' ἐπιδευομένοις τε] *ipse scripsi,* χήραις ἐπιδεομένοις δὲ *Ψ, alterum* τε *etiam Alexandre (in Cur. poster.) malebat, qui* ἐπιδευομένοις *restituit* 76] *cf. Pseudophoc. 20* ἐχέμεν· κρυπτὸν λόγον] ἐχέμεν κρυπτόν· λόγον *distinxit in Pseudophocylide Bergk sententiam esse hanc exponens: 'si loqueris, consilium tuum occulta; verba pectore sint recondita'* λόγον ἐν φρεσὶν] κλῃσὶν λόγον *fortasse germanam lectionem fuisse in Pseudophocylide arbitratus est Bergk,* κρύπτων λόγον ἐν φρεσὶν ἴσχῃ *in eodem carmine coniecit Bernays* 77] = *Pseudophoc. 21* ἐθέλοις] *duo codd. Pseudophoc. B V 2 (et ita recte scripserat in Pseudophocylide G. Hermann),* ἐθέλῃς *Ψ et nonnulli Phocylid. (M a b M A 1 3 V a),* ἐθελήσῃς *V 3,* ἔθελε *P (infra scriptum* ἐθέλοις), ἐθέλεις *A 2* οὖν] *om. Ψ et codd. Pseudophocylidei M V 1 3 4* ἀδικοῦντας] *Bergk in Pseudophocylide restituit,* ἀδικοῦντα *Ψ et Phocylidei omnes* 78] *cf. Pseudophoc. 22* πτωχοῖς] *Ψ,* πτωχῷ δ' *Pseudophoc.* μηδ'] μήτ' *Opsopoeus* 79] *aliter Pseudophoc. 23* πληρώσας σέο χεῖρ' ἔλεον χρῄζοντι παράσχου ἱδρῶσιν—παράσχου] *alium ante hunc versum excidisse suspicatus est Bergk de spicis legendis coll. Deuteron. 24, 19 Philon. II 390 Orac. Sibyll. III 245* ἱδρῶσιν] *cum Hesiodeo* ἴδει ἐν αἰνοτάτῳ *Scut. 397 comparans non male explicavit Alexandre 'per aestatis sudores = messis tempore'; an* ἱδρώτων *an* ἱδρῶσ' ἐν? *cf. Hesiod. Oper. 415* καύματος ἰδαλίμου *Hesych.* ἴδεος *(*εἴδεος *cod.)*· θάλπους καύματος; εὐδώρῳ *(*χειρὶ*) Boissonade coniecit coll. VIII 498* εὐδώροις παλάμῃσι *('benefica manu spicas largire inopi')* χειρὶ] χερσὶν *fortasse scribendum, cf. Hilberg. Silbenwägung p. 95* χρῄζοντι παράσχου] = *II 89* 80—83] *de suo intrusit compilator, in Pseudophocylideis non extant*

II οὐ θυσίην, ἔλεος δὲ θέλει θεὸς ἀντὶ θυσίης.
ἔνδυσον γυμνόν, μετάδος πεινῶντι ἄρτων σῶν,
ἄστεγον εἰς οἶκον δέξαι καὶ τυφλὸν ὁδήγει.
ναυηγοὺς οἴκτειρον· ὁ γὰρ πλόος ἐστὶν ἄδηλος.
χεῖρα πεσόντι δίδου· σῶσον δ' ἀπερίστατον ἄνδρα.
κοινὰ πάθη πάντων, βίοτος τροχός, ἄστατος ὄλβος.
πλοῦτον ἔχων σὴν χεῖρα πενητεύουσιν ὄρεξον.
ὧν σοι ἔδωκε θεός, καὐτὸς χρήζοντι παράσχου.
κοινὸς πᾶς ὁ βίος μερόπων· ἄνισος δὲ τέτυκται.
μή ποτε δ' ἄνδρα πένητα ἰδὼν σκώψῃς ἐπέεσσιν
μηδὲ κακῶς γε προσείπῃς μωμητόν τινα φῶτα.
τὸ ζῆν ἐν θανάτῳ δοκιμάζεται· εἴ τις ἔπραξεν
ἔννομον ἢ δίκαιον, διακρίνεται ἐς κρίσιν ἐλθών.
μηδὲ φρένας βλάπτειν οἴνῳ μηδ' ἔκμετρα πίνειν.
αἷμα δὲ μὴ φαγέειν, εἰδωλοθύτων δ' ἀπέχεσθαι.
τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν·
εἴθε δὲ μὴ χρήσῃ μήτ' ἔκνομα μήτε δικαίως·
κἂν γὰρ ἀποκτείνῃς ἐχθρόν, σέο χεῖρα μιαίνεις.
ἀγροῦ γειτονέοντος ἀπόσχεο, μηδ' ἄρ' ὑπερβῇς·

82] Matth. 9, 13; 12, 7 (Osee 6, 6) 83] Tob. 4, 16 84] Es. 58, 7 Levit. 19, 14 86] Levit. 25, 35 88 sq.] Deuteron. 15, 11, 14 96] Acta Apost 15, 20, 29; 21, 25 100—103] Exod. 22, 5 Deuteron. 19, 14

83 ἔνδυσον γυμνόν] *Alexandre*, ἔνδυσον οὖν γυμνόν Ψ μετάδος—σῶν] *cf.* *VIII 404* καὶ δὸς πεινῶντι τὸν ἄρτον ἄρτων] ἀρτῶν Ψ 84] = *Pseudophoc. 24* τυφλὸν] πτωχὸν *habent codices Pseudophoc. V 2 T A 2* ὁδήγει] *Pseudophoc.*, ὡδήγει Ψ 85] *cf. Pseudophoc. 25* ὁ γὰρ] ἐπεὶ *Pseudophocyl.* πλόος] *restitui ex Pseudophocylide*, πλοῦς Ψ 86] = *Pseudophoc. 26* 87] *cf. Pseudophoc. 27* βίοτος] ὁ βίος *Pseudophocylidea, quod e Sibyllinis corrigendum puto* 88] = *Pseudophoc. 28* σὴν] τὴν *supra addito* ἢ σὴν *codex V a Pseudophocylidis* 89] *cf. Pseudophoc. 29* σοι] τοι *codd. Pseudophoc. V 1 3* καὐτὸς] *correxit Alexandre praeeunte Opsopoco, qui* κ' αὐτὸς *scripserat*, καὶ αὐτὸς Ψ, τούτων *Pseudophocylides* χρήζοντι παράσχου] = *II 79* χρήζοντι] Ψ *et codd. Phocylidei V 1 2 3*, χρήζουσι *codd. ceteri Phocylidei (P utrumque habet)* 90] *immutatus e Phocylidei carminis v. 30* ἔστω κοινὸς ἅπας ὁ βίος καὶ ὁμόφρονα πάντα 91—96] *non leguntur in Pseudophoc., intrusi sunt ab interpolatore* 91 μή ποτε δ' ἄνδρα] *scripsi*, δ' *om.* Ψ, μήποτε φῶτα *Nauck, sed cf. versus proximi clausulam* 94 ἐς] εἰς *codd.* 95 μηδ' ἔκμετρα πίνειν] *cum Boissonadio dedi*, μηδὲ πίνειν ἄμετρα Ψ, μηδ' ἄμετρα πίνειν *Alexandre metro claudicante* 96] *cf. Pseudophoc. 31, in quo carmine a Bergkio editus est cancellis saeptus e cod. V a, ubi interpolatus legitur post v. 32; neque vero e Sibyllinis oraculis versum hunc in Vaticanum librum translatum, sed interpolatorem oraculorum usum esse carminis Pseudophocylidei exemplo, quod ad recensionem Vaticanam prope accederet, contendit Bergk*[4] 97] *cf. Pseudophocyl. 32* φόνον] *ex Phocylideis restituendum censui*, φίλον Ψ ἐς] *Pseudophoc.*, ἐπ' Ψ 98] *cf. Pseudophoc. 33* χρήσῃ] Ψ, χρήζοις *Pseudophoc. (sed* χρήζῃς *codd. M A 2*, χρήζαις *V 1*, χρήζεις *V 2)* μήτ' ἔκνομα] Ψ, *corrupte Pseudophoc. codd.:* ἔννομα *H*, εὔνομα *B M b*, ἄνομα *T V a* μήτε δικαίως] μήτε ἀδίκως *pars codicum Pseudophoc. (V 3 4 A 1 3 M a), utrumque P* 99] *cf. Pseudophoc. 34* κἂν] ἢν *Pseudophoc.* μιαίνεις] *Pseudophoc.*, μιανεῖς Ψ 100] = *Pseudophoc. 35* γειτονέοντος] *Pseudophoc.*, γειτονεύοντος Ψ ἀπόσχεο] *maior pars codicum Pseudophoc.*, ἀπόσχου Ψ *et codd. Pseudophoc. M b M* μηδ' ἄρ' ὑπερβῇς] *Pseudophoc.*, μὴ τὸν δ' ἄρ' ὑπερβῇς Ψ, μηδ' ὑπεραμβῇς *primitus in Pseudophocylideis scriptum fuisse suspicatus est Bergk*

II πᾶς ὅρος ἐστὶ δίκαιος, ὑπερβασίη δ' ἀλεγεινή.
κτῆσις ὀνήσιμός ἐσθ' ὁσίων, ἀδίκων δὲ πονηρή.
μηδέ τιν' αὐξόμενον λωβήσῃ καρπὸν ἀρούρης.
ἔστωσαν δ' ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις·
πάντες γὰρ ξενίης πειρήσονται πολυμόχθου,
ὡς ξένοι ἀλλήλων· ξεῖνος δέ τοι οὔ τις ἐν ὑμῖν
ἔσσετ', ἐπεὶ πάντες βροτοὶ αἵματος ἐξ ἑνός ἐστε,
χώρη δ' οὔ τι βέβαιον ἔχει τόπον ἀνθρώποισιν.
μηδὲ θέλοις πλουτεῖν μηδ' εὔχεο· ἀλλὰ τόδ' εὔχου
ζῆν ἀπὸ τῶν ὀλίγων ἄδικόν περ μηδὲν ἔχοντα.
ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
μὴ πόθος ἐς χρυσὸν ἢ ἐς ἄργυρον· ἐν δ' ἄρα καὶ τοῖς
ἔσσεται ἀμφήκης θυμοφθόρος ἔνθα σίδηρος.
χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισιν.
χρυσὲ κακῶν ἀρχηγὲ βιοφθόρε πάντα χαλέπτων,
εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν·
σεῦ γὰρ ἕκητι μάχαι τε λεηλασίαι τε φόνοι τε,
ἐχθρὰ δὲ τέκνα γονεῦσιν ἀδελφειοί τε συναίμοις.

104—108] Levit. 19, 33 sq. 104 sq.] Exod. 22, 21; 23, 9 Levit. 19, 34; 24, 22

101] *cf. Pseudophoc. 36, quem Bergk*[4] *cancellis saepsit:* πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλεγειναί; *pars codicum Pseudophoc. hunc versum post v. 69 exhibet, ubi eum ut loco satis commodo posuit Bergk; cf. Sib. II 142* 102] *cf. Pseudophoc. 37* χρῆσις ὀνήσιμός ἐστι, φίλων δ' ἀδίκων ἀνόνητος *Bergk*[4] *e cod. V a; idem malit* χρῆσις ὀνήσιμός ἐσθ' ἐσθλῶν, ἀδίκων δ' ἀνόνητος πονηρή] *dedi,* πονηρά Ψ 103] *cf. Pseudophoc. 38* μηδέ τιν' αὐξόμενον] *vel* μηδέ τευ αὐξόμενον *vel* μηδ' ἐπαεξόμενον *in Pseudophocylide scribere malit Bergk* λωβήσῃ—ἀρούρης] καρπὸν λωβήσῃ ἀρούρης *inverso ordine Pseudophoc.* 104] = *Pseudophoc. 39* 105] *cf. Pseudophoc. 40* πάντες γὰρ πενίης (ξενίης *Bernays ex Sib.)* πειρώμεθα τῆς πολυπλάγκτου, *quem immutatum amplificavit compilator de suo additis versibus duobus 106 sq.* ξενίης—πολυμόχθου] *scribendum esse puto,* ξενίης περιρήσσονται πολυμόχθου Ψ, πενίης πειρήσονται πολυμόχθου *Nauck et Bergk* 106 *sq.*] *non leguntur in Pseudophocylideo carmine a compilatore additi* 106 τοι] *ipse scripsi,* γε Ψ ὑμῖν] *Alexandre,* ἡμῖν Ψ 108] *cf. Pseudophoc. 41* χώρη] χώρης *codd. Pseudophoc. M V a V 1 4 M b A 1,* χώρις *L* ἔχει] *Pseudophoc.,* ἔχειν Ψ τόπον] Ψ, πέδον *Pseudophoc.* 109 *sq.*] *iniecit compilator ex Theognideis 1155 sq. B.*[4] *immutatos* θέλοις] *ipse scripsi, (optativus etiam Alexandro magis placuit),* θέλεις *F R,* θέλῃς *L* εὔχεο] *F,* εὔχου *L R* ἄδικον—ἔχοντα] *scripsi,* μηδέν τε ἔχοντα ἄδικον Ψ; *fortasse vero hoc quoque loco (velut I 146) pentametrum restitui posse scribendo* μηδὲν ἔχοντ' ἄδικον *(cf.* μηδὲν ἔχοντα κακόν *in epigrammate Anthol. Palat. X 113, 2) suspicatus est Alexandre* 111] = *Pseudophoc. 42; cf. VIII 17* ἀρχὴ πᾶσι κακῶν φιλοχρημοσύνη καὶ ἄνοια *III 235 sq.* φιλοχρημοσύνην, ἥ τις κακὰ μυρία τίκτει | θνητοῖς ἀνθρώποις, πόλεμον καὶ λιμὸν ἄπειρον *III 641 sq.* ἔσται | ἡ φιλοχρημοσύνη κακὰ ποιμαίνουσα πόλεσσιν ἡ φιλοχρημοσύνη] = *III 642* 112 *sq.*] *de suo inseruit compilator* ἐς] εἰς Ψ ἢ ἐς] ἢ εἰς Ψ 113 ἔνθα] *suspectum, an* εἶτα? 114] = *Pseudophoc. 43* 115] = *Pseudophoc. 44* χρυσὲ κακῶν ἀρχηγέ] *cf. V 179* Μέμφι πόνων ἀρχηγέ *V 230* ὕβρι κακῶν ἀρχηγέ *V 241* κακῶν ἀρχηγὲ μεγίστων 116] = *Pseudophoc. 45* σε—πῆμα] σὺ μὴ θνητοῖσι γένοιο κτῆμα *in Pseudophocylide coniecit Goram coll. Libr. Sapient. 8, 5* 117] = *Pseudophoc. 46* σεῦ] *Pseudophoc. codd. V a V 1 3,* σοῦ Ψ *et ceteri codd. Pseudophoc.* μάχαι—φόνοι τε] = *XIII 87* 118] = *Pseudophoc. 47* ἀδελφειοί] *pars maior codicum Pseudophoc.,* ἀδελφεοί *F,* ἀδελφαῖοί *L,* ἀδελφοί *R, sic etiam Pseudophoc. P M H* συναίμοις] συνέμοις *L R*

II μηδὲ δόλους ῥάπτειν· μὴ πρὸς φίλον ἦτορ ὁπλίζειν.
μηδ' ἕτερον κεύθοις κραδίῃ νόον ἄλλ' ἀγορεύων·
μηδ', ὡς πετροφυὴς πολύπους, κατὰ χῶρον ἀμείβου.
πᾶσιν δ' ἁπλόος ἴσθι, τὰ δ' ἐκ ψυχῆς ἀγόρευε.
ὅς τις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ· ὃς δ' ὑπ' ἀνάγκης,
οὐκ ἐρέω τὸ τέλος· βουλὴ δ' εὐθύνεθ' ἑκάστου.
μὴ γαυροῦ σοφίῃ μήτ' ἀλκῇ μήτ' ἐνὶ πλούτῳ·
εἷς θεός ἐστι σοφὸς δυνατός θ' ἅμα καὶ πολύολβος.
μηδὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦτορ·
οὐκ ἔτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
μὴ προπετὴς ἐς χεῖρα· χαλίνου δ' ἄγριον ὀργήν·
πολλάκι γὰρ πλήξας ἀέκων φόνον ἐξετέλεσσεν.
ἔστω κοινὰ πάθη, μηδὲν μέγα μηδ' ὑπέροπλον.
οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ.
ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀμέτρους ἕλκετ' ἔρωτας.
ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος καὶ ἐς ὕβριν ἀέξει.
θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει.
ὀργὴ δ' ἐστὶν ὄρεξις, ὑπερβαίνουσα δὲ, μῆνις.

125] Sirach. 1, 8 Hierem. 9, 23

119] *intrusus a compilatore, qui prius hemistichium e Phocyl. 4 deprompsit* μηδὲ] μήτε *Pseudophoc. 4* 120] *cf. Pseudophoc. 48* μηδ'] *Pseudophoc.*, μήθ' Ψ κεύθοις] *codd. Pseudophoc. B T H* (κέθοις *M B*), κεύθῃς *ceteri cum* Ψ κραδίῃ νόον] *Pseudophoc.*, κραδίην *omisso* νόον Ψ (*et Phoc. V 1*); *ceterum in Sibyllinis iam verum viderat Opsopoeus* 121] = *Pseudophoc. 49* χῶρον] *e cod. V 3 Bergk scripsit in Pseudophocylide, quem sequor*; χώραν Ψ *et pars codd. Pseudophoc.* (*utrumque*, χῶρον *et* χώραν *habet P*) ἀμείβου] *Pseudophoc.*, ἀμείβειν Ψ 122] *cf. Pseudophoc. 50* πᾶσιν δ'] πᾶσι δ' Ψ τὰ δ'] *Pseudophoc.*, τά τ' Ψ 123 *sq.*] *cf. Pseudophoc. 51 sq.* ὃς δ'] Ψ, εἰ δ' *Phocyl. V 1*, ἢν δ' *V 3 P*, ἂν δ' *V a*, ἀλλ' *M H* 124] *cf. Pseudophoc. 52* εὐθύνεθ'] Ψ. *varie codd. Pseudophoc.*: εὔθυν' ἐς *M m*¹, εὔθυνον *V a*, εὔθυνε *V 3*, ἴθυνε *V 2*, εὐθῦναι *P*, εὔθυνες *B*, εὐθύναι *H corr.*, εὐθύνεθ' *codd. Brunckii* 125] *cf. Pseudophoc. 53* ἐνὶ] Ψ *et codd. Pseudophoc.*, ἐπὶ *in Phoc. Schaefer, quod recepit Bergk*; *sed cf. Hierem. 9, 23* 126] = *Pseudophoc. 54* εἷς θεός· ἐστι] εἷς ἐστι θεὸς· ἐστὶ *L* θ' ἅμα] θ' *om. codd. aliquot Pseudophoc.* (δ' *B*, τ' *M corr.*) 127] = *Pseudophoc. 55* παροιχομένοισι] παρ' οἰχομένοισι *F* ἦτορ] Ψ *et pars Pseudophocyl.*, ἧπαρ *codd. Pseudophoc. M b M corr. B T, utrumque P*, ἦμαρ γρ. ἧπαρ *V a* 128] = *Pseudophoc. 56* 129] = *Pseudophoc. 57, v. etiam Append. Paroem. I 461 not.* προπετὴς] προπέσῃς *in Pseudophoc. Bernays* ὀργήν] ἄρην *in Pseudophoc. M B V 3 4, utrumque P V 1* 130] *cf. Pseudophoc. 58* πολλάκι] *plerique codd. Pseudophoc.*, πολλάκις Ψ *et ex Phoc. M b V 2 M pr.* ἐξετέλεσσεν] ἐξετέλεσε Ψ; *in Pseudophoc. M b*, ἐξετέλεσας *M T P*, ἐξετέλεσσας *V a V 1 2 3 4 A 1 H* 131] *cf. Pseudophoc. 59* ὑπέροπλον] ὑπέροφεν *in Pseudophoc. V 1, unde coll. Hesychio* ὑπέροφρυς· ὑπέροπτος *et* ὑπερόφρυς· ὑπερηφάνους *Bergk*⁴ *edidit* ὑπέροφρυ 132] *cf. Pseudophoc. 60* οὐκ] οὐδ' *in Pseudophoc. Bernays* 133] *cf. Pseudophoc. 61* τρυφὴ] τροφὴ *codd. aliquot Pseudophoc. ut T H*, τροφὴ *supra scripto* τρυφὴ *V a* ἀμέτρους] ἀσέμνους *codd. Pseudophoc. V 1 3, quod in textum receperunt Bernays et Bergk* 134] = *Pseudophoc. 62* 135] *cf. Pseudophoc. 63* ὑπερχόμενος] *Pseudophoc.*, ὑπαρχόμενος Ψ, σπερχόμενος *in Phocyl. Bernays*, ὑπερχύμενος *Bergk coniecerunt* τεύχει] τίκτει *cod. Pseudophoc. V 2, quod in textum recepit Bergk* 136] = *Pseudophoc. 64*

Π ζῆλος τῶν ἀγαθῶν ἐσθλός, φαύλων δέ τε φαῦλος.
τόλμα κακῶν ὀλοή, ἀγαθῶν δέ τε κῦδος ὀπάζει.
σεμνὸς ἔρως ἀρετῆς, ὁ δὲ Κύπριδος αἶσχος ὀφέλλει.
ἡδὺς ἄγαν ἄφρων κικλήσκεται ἐν πολιήταις.
ἐν μέτρῳ φαγέειν, πιέειν καὶ μυθολογεύειν·
πάντων μέτρον ἄριστον· ὑπερβασίη δ' ἀλεγεινόν.
μὴ φθονερός, μὴ ἄπιστος ἔσῃ, μὴ λοίδορος ἴσθι,
μηδὲ κακογνώμων, μὴ ψευδαπάτης ἀμέτρητος.
σωφροσύνην ἀσκεῖν, αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι.
μὴ μιμοῦ κακότητα, δίκῃ δ' ἀπόλειψον ἄμυναν·
πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ' ἔριν ἀντιφυτεύει.
μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.]
οὗτος ἀγών, ταῦτ' ἐστὶν ἀέθλια, ταῦτα βραβεῖα,
τοῦτο πύλη ζωῆς καὶ εἴσοδος ἀθανασίης,
ἣν θεὸς οὐράνιός γε δικαιοτάτοις ἀνθρώποις
ἔστησεν νίκης ἐπαέθλιον· οἳ δὲ λαβόντες
τὸ στέφος ἐνδόξως διελεύσονται διὰ ταύτης.
ἀλλ' ὁπότ' ἂν τόδε σῆμα φανῇ κατὰ κόσμον ἅπαντα
ἐκ γενετῆς παῖδες πολιοκρόταφοι γεγαῶτες,

155] Hesiod. Oper. 181

137] *cf. Pseudophoc. 65* τῶν—ἐσθλὸς] τῶν ἐσθλῶν ἀγαθὸς *Bergk ex P V 1 in Pseudophoc.* δέ τε] *ipse scripsi,* δέ γε Ψ δέ τε φαῦλος] δ' ἀίδηλος *Bergk in Phocylide ex V 1, ubi legitur* δ' ὑποεργὸς *superscripto* ἀίδηλος, (ὑποεργὸς *P V 4 A 1 M b H,* ὑπέρογκος *M,* πονηρὸς γρ. ὑποεργὴς *V a),* δὲ κακοῦργος *Brunck* 138] *cf. Pseudophoc. 66* ἀγαθῶν—ὀπάζει] μέγα δ' ὠφελεῖ ἐσθλὰ πονεῦντα *Pseudophoc.* δέ τε] *ipse dedi,* δέ γε Ψ 139] = *Pseudophoc. 67* σεμνὸς] *L Pseudophoc.,* σεμνὸν *F R* 140] = *Pseudophoc. 68, quem uncis saepsit Bergk; ad v. 50 enim adscriptum olim fuisse censet* ἡδὺς ἄγαν ἄφρων] *Bergk in Pseudophoc. coll. Tim. lex. Plat.* ἡδύς· εὐήθης καὶ ἄφρων *Etym. M. 420, 42 Suid. v.* ἡδύς *schol. Plat. Gorg. 491 D, (explicat Bergk* ὁ ἄγαν ἄφρων κικλήσκεται ἡδύς. *Bernays vero* ὁ ἄγαν ἡδὺς κικλήσκεται ἄφρων); ἡδὺς ἀγανόφρων Ψ *et codd. Pseudophocylidei excepto M, qui* ἀγαννόφρων *habet,* μηδὲν ἄγαν σώφρον *Goram in Pseudophocylide* 141] *cf. Pseudophoc. 69* ἐν—πιέειν] Ψ, μέτρῳ ἔδειν, μέτρῳ δὲ πιεῖν *Bergk et Bernays in Pseudophoc. ex cod. M, qui habet* μέτρῳ φαγειν *superscr.* εδειν, μετρω πιειν *supersr.* δὲ; μέτρω φαγεῖν, μέτρω δὲ πιεῖν *M b;* μέτρῳ μὲν φαγέειν, πίνειν *Pseudophoc. vulgo* 142] *cf. Pseudophoc. 69 b; vide ad II 101* ὑπερβασίη δ' ἀλεγεινόν] ὑπερβασίαι δ' ἀλεγειναί *Pseudophoc.,* ὑπερβασίη δ' ἀλεγεινή *II 101* 143 *sq.] non leguntur in Pseudophocylideis, additi sunt ab ipso compilatore, qui illos hic collocavit consulto omissis 70—75* μὴ φθονερὸς] *ex* μὴ φθονέοις *Pseudophoc. 70 mutavit compilator* 145] = *Pseudophoc. 76* σωφροσύνην] δ' *addunt codd. aliquot Pseudophoc.* 146] = *Pseudophoc. 77* μὴ μιμοῦ] *ex Pseudophocylide recepi,* μηδὲ μιμοῦ Ψ ἀπόλειψον] *codd. Pseudophocylidei M* (ἀπώλειψον *m*[1]) *B,* ἀπάλειψον Ψ *et ceteri codd. Pseudophocylidei* δίκη—ἄμυναν] δίκῃ δ' ἀπαλέξου ἀμύνων *Bernays in Phocylide coniecit* 147] = *Pseudophoc. 78* ὄνειαρ] ὄφελλος *aliquot codd. Pseudophoc. (B M V a V 3),* ὄφελος *V 1, 2 utrumque* (ὄνειαρ *et* ὄφελος) *P,* ὀφέλλει *Bergk olim in Phocylide coniecerat* ἀντιφυτεύει] *Pseudophoc.,* ἀντιφυτεύσει Ψ 148] = *Pseudophoc. 79* 149 οὗτος ἀγών] *cf. II 39* 150 ἀθανασίης] Φ, ἀθανασίας Ψ 151 οὐράνιός γε] γε *om.* Ψ 152 ἔστησεν] ἔστησε *P* 153 διελεύσονται] Φ, εἰσέλθωσι Ψ 155 πολιοκρόταφοι] πολυοκρόταφοι *P*

II *θλίψεις δ' ἀνθρώπων λιμοὶ λοιμοὶ πόλεμοί τε,*
καιρῶν δ' ἀλλαγίη πενθήματα δάκρυα πολλά,
αἳ ὁπόσων παῖδες χώραις ἔνι θρηνήσονται
οἶκτρ' ὀλοφυρόμενοι γονέας κἂν φάρεσι σάρκας
σὺν μέλεσιν θάψουσιν ἐπὶ χθονὶ μητέρι λαῶν
αἵματι καὶ κονίῃσι πεφυρμένοι. ὦ μέγα δειλοὶ
ὑστατίης γενεῆς φῶτες κακοεργέες αἰνοὶ
νήπιοι οὐδὲ νοοῦντες ὅθ', ἡνίκα φῦλα γυναικῶν
μὴ τίκτωσιν, ἔφυ τὸ θέρος μερόπων ἀνθρώπων.
ἡ δὲ συναίρεσις ἐγγύς, ὅτ' ἄν τινες ἀντὶ προφητῶν
ψευδαπάται πελάσωσιν ἐπὶ χθονὶ φημίζοντες.
καὶ Βελίαρ θ' ἥξει καὶ σήματα πολλὰ ποιήσει
ἀνθρώποις. τότε δὴ ὁσίων ἀκατάστασις ἀνδρῶν
ἐκλεκτῶν πιστῶν τε λεηλασίη τε γένηται
τούτων ἠδ' Ἑβραίων. δεινὸς δ' αὐτοῖς χόλος ἔσται,
ἡνίκα δωδεκάφυλος ἀπ' ἀντολίης λαὸς ἥξει
λαὸν ζητήσων, ὃν ἀπώλεσεν Ἀσσύριος κλών,
συμφύλων Ἑβραίων· ἔθνη δ' ἐπὶ τοῖσιν ὀλοῦνται.
ὕστερον αὖτ' ἄρξουσιν ὑπερμενέων ἀνθρώπων

163 sq.] Clem. Alex. Strom. III 6 = vol. II p. 272, 3—5 Dindorf 164] Marc. 13, 28 Matth. 24, 32 Luc. 21, 29 sq. 165 sq.] Matth. 24, 11 167] Ioann. Epist. I 2, 18 Apocal. 13, 14 Matth. 24, 24 Marc. 13, 22 (Paul. Corinth. II 6, 15)

156 *θλίψεις δ'] δ' om. Ψ λιμοὶ λοιμοὶ] Alexandre, λοιμοὶ λιμοὶ anonymus Londin. (et postea Struve), λοιμοὶ καὶ λιμοὶ Φ, τε λιμοὶ λοιμοὶ Ψ* 157 *καιρῶν δ' ἀλλαγίη] cf. VIII 214 ἀλλ' ὅτ' ἂν ἀλλάξῃ καιροὺς θεός ἀλλαγίη] ἄλλαξις fortasse scribendum esse censuit Meineke πενθήματα] Struve, πένθημά τε Φ, καὶ πένθιμα Ψ* 158 *αἳ—παῖδες] cf. XIV 344 αἳ ὁπόσοι φῶτες ὁπόσων] ὁπόσοι anonymus Londin. χώραις ἔνι] χώραις ἐνὶ Φ (χώρας ἐνὶ P), χώρης ἐνὶ Ψ (χῶρις ἐνὶ L) θρηνήσονται] Alexandre (ἐνιθρηνήσονται) Castalionis coniectura θρηνήσουσι usus; θοινήσονται Φ Ψ* 159 *οἶκτρ' ὀλοφυρόμενοι] cf. II 301 οἶκτρ' ὀλοφυρομένων γονέας] γονέων maluit anonymus Londin. κἂν] ipse scripsi, ἐν Φ Ψ, καὶ Alexandre* 160 *σὺν μέλεσιν] Φ, ἐνθέντες Ψ* 161 *αἵματι] restitui ex Hom. Π 796, αἵμασι Φ Ψ πεφυρμένοι] Ψ, πεφυρμέν' Φ* 163 *ὅθ', ἡνίκα] Ψ, ὃ νικᾷ (νικᾷ A) Φ* 164 *ἔφυ—ἀνθρώπων] = XIV 356* 165 *ἡ δὲ συναίρεσις] Alexandre, μηδὲ συναίρεσις Ψ, μὴ δὲ συναίρεσιν Φ ὅτ' ἂν—φημίζοντες] cf. VII 132 οἳ διὰ κέρδος | αἰσχρὰ προφητεύσουσι* 167 *καὶ—ἥξει] cf. III 63 ἥξει Βελίαρ μετόπισθεν Βελίαρ θ'] Ψ, Βελίας Φ καὶ—ἀνθρώποις] = III 66 sq. ποιήσει] πο ήσει (sic) F* 168 *τότε δὴ—170 Ἑβραίων] cf. III 68—70* 168 *δὴ] δ' Φ ἀκατάστασις] Volkmann; ἀποκατάστασις (quartum α in P non satis clare legi potest) Φ, ἀκαταστασί' Ψ, ἀπανάστασις dubitans Castalio λεηλασίη τε] = XIII 12, cf. II 117 XIII 87 λεηλασίαι τε* 169 *τε] om. R* 170 *τούτων ἠδ'] suspectum, τούτων δ' ἠδ' A αὐτοῖς] αὖ Ψ χόλος] χῶλος P ἔσται] ipse scripsi, ἥξει (e versu proximo) Φ Ψ* 171 *sq.] an scribendum ἡνίκα δὴ δεκάφυλος ἀπ' ἀντολίης λαὸς ἥξει | λαὸν ζητήσων? δωδεκάφυλος . . . λαὸς] cf. III 249 XI 36 λαὸς ὁ δωδεκάφυλος; δωδεκάφυλον cum λαὸν (v. 172) coniungendum Huetius scribi iussit ἀντολίης] ἀνατολίης Ψ* 172 *λαὸν ζητήσων] ipse transposui, ζητήσων λαὸν (θ' additum in Ψ) codd. κλών] κλῶν P* 173 *ἐπὶ τοῖσιν] τοῖσι δ' Ψ (τοῖσι F), ὑπὸ τοῖσιν suspicatus est Alexandre* 174 *αὖτ'] ipse dedi, αὖ Φ Ψ ἄρξουσιν—ἀνθρώπων] cf. XIV 127 ἄρξειεν ὑπερμενέων ἀνθρώπων (ubi cf.)*

II ἐκλεκτῶν πιστῶν Ἑβραίων καταδουλώσαντες
αὐτοὺς ὡς τὸ πάροιθεν, ἐπεὶ κράτος οὔ ποτε λείψει.
ὕψιστος πάντων πανεπίσκοπος αἰθέρι ναίων
ὕπνον ἐπ᾽ ἀνθρώποις σκεδάσει βλέφαρ᾽ ἀμφικαλύψας.
ὦ μάκαρες θεράποντες, ὅσους ἐλθὼν ἀγρυπνοῦντας
εὕροι ὁ δεσπόζων· τοὶ δ᾽ ἐγρήγορθαν ἅπαντες
πάντοτε προσδοκάοντες ἀκοιμήτοις βλεφάροισιν.
ἔσται γάρ τ᾽ ἠὼς ἢ δείλης ἢ μέσον ἦμαρ·
ἥξει δ᾽ ἀτρεκέως καὶ ἔσσεται ὡς ἀγορεύω,
ἔσσεται εὑδομένοις, ὅτ᾽ ἀπ᾽ οὐρανοῦ ἀστερόεντος
ἄστρα πρόπαντα μέσῳ ἐνὶ ἤματι πᾶσι φανεῖται
σὺν δισὶ φωστῆρσιν κατεπειγομένοιο χρόνοιο.
καὶ τόθ᾽ ὁ Θεσβίτης μὲν ἀπ᾽ οὐρανοῦ ἅρμα τιταίνων
αἰθέριον, γαίῃ δ᾽ ἐπιβάς, κακὰ σήματα τρισσὰ
κόσμῳ ὅλῳ δείξειεν ἀπολλυμένου βιότοιο.
αἲ ὁπόσαι κείνῳ ἐνὶ ἤματι φορτοφοροῦσαι
γαστέρι φωραθῶσιν, ὅσαι δέ τε νήπια τέκνα
γλακτοδοτοῦσιν, ὅσαι δ᾽ ἐπὶ κύματι ναιετάουσιν·
αἲ ὁπόσαι κείνην τὴν ἡμέραν ἀθρήσουσιν·
ἀχλὺς γὰρ ζοφερὴ σκεπάσει τὸν ἀπείρονα κόσμον

179] Matth. 24, 46 180—182] Luc. 12, 37; 12, 46 Matth. 24, 42 187] Matth. 17, 10 (Reg. IV 2, 11) 190 sqq.] Matth. 24, 19 Luc. 21, 23 194 sqq.] Marc. 13, 24 Matth. 24, 29 Luc. 21, 25

175 *ἐκλεκτῶν — Ἑβραίων] cf. II 169 ἐκλεκτῶν πιστῶν τε III 69 πιστούς τ᾽ ἐκλεκτούς θ᾽ Ἑβραίους: ἐκλεκτοὶ πιστοὶ Ἑβραῖοι Maranus* 177] *cf. Fragm. I 4 ὕψιστον γνώστην πανεπόπτην μάρτυρα πάντων ὕψιστος πάντων πανεπίσκοπος] cf. I 152 ἀθάνατος σωτὴρ πανεπίσκοπος V 352 αὐτὸν ἄνακτα θεὸν πανεπίσκοπον αἰθέρι ναίων] = II 27 III 81 V 298 Fragm. III 17* 178 *ἐπ᾽ ἀνθρώποις] ἐπ᾽ ἀνθρώπους dubitans coniecit Alexandre σκεδάσει] Castalio, σκεπάσει ΦΨ ἀμφικαλύψας] ἀμφὶ καλύψασ P* 179 *ὦ μάκαρες θεράποντες] ὦ μάκαρ ἐσθεράποντες P* 180 *ἐγρήγορθαν] Nauck coll. Hom. K 419 ἐγρηγόρθασι et Sib. I 86 ἔσχηκαν I 265 πέφυκαν XIV 253 ἔοργαν, ἐγρήγορθεν ΦΨ* 182 *ἔσται γάρ τ᾽] ipse correxi (an ἔσσεται ἢ ex Hom. Φ 111?), ἥξει γάρ τ᾽ Φ, ἥξει γὰρ ἢ Ψ ἠώς] ex Hom. l. c. recipiendum est; ἠῶος Φ, ἠοῦς Ψ δείλης] Φ, δήλης Ψ (cf. Hom. l. c. δείλης in cod. A Syr. Apoll. Soph. 85, 23 Etym. M. 261, 24 schol. K 252 Eustath. 1226, 29; δείλη Aristarchus codd. CD schol. Z 201 H 433 Θ 66)* 183 *καὶ] γε καὶ Ψ* 184 *ἀπ᾽ — ἀστερόεντος] = III 373 VIII 33 Fragm. III 49* 185 *ἄστρα πρόπαντα] ipse temptavi, ἄστρα τε πάντα ΦΨ ἐνὶ] τ᾽ ἐνὶ Ψ πᾶσι φανεῖται] ἀποφανεῖται Ψ* 186 *φωστῆρσιν] φωστῆρσι Ψ κατεπειγομένοιο χρόνοιο] cf. III 50 ἐπειγομένοιο χρόνοιο κατεπειγομένοιο] γε ἐπειγομένοιο Ψ* 187 *τόθ᾽ ὁ] τότ᾽ ὁ P, an τότε? Θεσβίτης] θεσβήτης A μὲν ἀπ᾽ οὐρανοῦ] ipse dedi, ἀπ᾽ οὐρανοῦ P, ἀπὸ οὐρανοῦ A, γε ἀπ᾽ οὐρανοῦ Ψ* 188 *αἰθέριον] ipse scripsi, οὐράνιον ΦΨ κακὰ] ipse conieci, τότε ΦΨ* 189 *δείξειεν] cum Alexandro et Volkmanno scripsi, δείξει τοῦ Φ, δείξει τε Ψ* 190 *αἲ ὁπόσαι] οὐαὶ ὅσαι Ψ* 191 *φωραθῶσιν] an φωρηθῶσιν?* 192 *γλακτοδοτοῦσιν] Struve et Meineke, γαλαδοτοῦσιν (γάλα δοτοῦσιν A) Φ, γαλουχοῦσιν Ψ, γλακτουχοῦσιν Alexandre ὅσαι] Volkmann locum intellegens de mulieribus puerperii caussa domum servantibus ὅσοι ΦΨ κύματι] κύμασι Ψ* 193 *αἲ ὁπόσαι] οὐαὶ ὅ σε Ψ, αἲ ὁπόσοι Alexandre κείνην] ἐκείνην Ψ ἡμέραν] similis correptio vocalis α II 13 sq. ἀθρήσουσιν] Ψ, ἀθροίσουσιν Φ*

II ἀντολίης δύσιός τε μεσημβρίης τε καὶ ἄρκτου.
καὶ τότε δὴ ποταμός τε μέγας πυρὸς αἰθομένοιο
ῥεύσει ἀπ' οὐρανόθεν καὶ πάντα τόπον δαπανήσει,
γαῖάν τ' ὠκεανόν τε μέγαν γλαυκήν τε θάλασσαν
λίμνας καὶ ποταμοὺς πηγὰς καὶ ἀμείλιχον Ἅιδην
καὶ πόλον οὐράνιον. ἀτὰρ οὐράνιοι φωστῆρες
εἰς ἓν συρρήξουσι καὶ ἐς μορφὴν πανέρημον.
ἄστρα γὰρ οὐρανόθεν γε θαλάσσια πάντα πεσεῖται.
πᾶσαι δ' ἀνθρώπων ψυχαὶ βρύξουσιν ὀδοῦσιν
καιόμεναι ποταμῷ τε θεείου καὶ πυρὸς ὁρμῇ
ἐν δαπέδῳ μαλερῷ, τέφρη δέ τε πάντα καλύψει.
καὶ τότε χηρεύσει κόσμου στοιχεῖα πρόπαντα
ἀὴρ γαῖα θάλασσα φάος πόλος ἤματα νύκτες·
κοὐκ ἔτι πωτήσονται ἐν ἠέρι ἄπλετοι ὄρνεις,
οὐ ζῷα νηκτὰ θάλασσαν ὅλως ἔτι νηχήσονται,
οὐ ναῦς ἔμφορτος ἐπὶ κύμασι ποντοπορήσει,
οὐ βόες ἰθυντῆρες ἀροτρεύσουσιν ἄρουραν,
οὐκ ἦχος λάβρων ἀνέμων ὕπο· ἀλλ' ἅμα πάντα
εἰς ἓν χωνεύσει καὶ ἐς καθαρὸν διαλέξει.

202] Matth. 24, 29 Marc. 13, 25 203] Matth. 13, 42 204] Joann. Apoc. 21, 8

195] = *XI 3, cf. III 26 VIII 321* ἀντολίην τε δύσιν τε μεσημβρίην τε καὶ ἄρκτον ἀντολίης] ἀνατολίης Ψ δύσιός τε] *scripsi*, δύσεώς τε ΦΨ μεσημβρίης] μεσημβρίας Φ 196 *sq.*] *cf. II 286* ἀκάματος ποταμὸς ῥεύσει πυρός *III 54* ὁππότ' ἂν οὐρανόθεν πύρινος ῥεύσῃ καταράκτης *III 84* ῥεύσει δὲ πυρὸς μαλεροῦ καταράκτης | ἀκάματος *VIII 243* ῥεύσει δ' οὐρανόθεν ποταμὸς πυρός δὴ] *om.* Ψ δὴ ποταμός τε μέγας] *an* δ' ἀκάματος ποταμὸς *scribendum ex II 286 III 84?* ποταμός τε] ποταμός θ' ὁ Ψ πυρὸς αἰθομένοιο] = *III 706 VIII 338* 197 δαπανήσει] διαπρήσει *anonymus Paris.* 198 γλαυκήν τε θάλασσαν] *cf. I 11* γλαυκὴν δ' ἥπλωσε θάλασσαν *VII 5* γλαυκῆς ποτε κῦμα θαλάσσης 199 καὶ] τε Ψ Ἅιδην] ἅδην *P*, ᾅδην *A* 200 καὶ πόλον οὐράνιον] = *III 86, cf. VIII 339* καὶ πόλος οὐράνιος, *II 40* ἐς πόλον οὐράνιον ἀτὰρ] τ' ἀτὰρ Ψ 201] = *VIII 340* ἐς] εἰς *codd.* 202] *vide VIII 341, cf. VIII 190* ἄστρα πεσεῖται ἅπαντα θαλάσσης ἀντίπρῳρα γε θαλάσσια] *Klouček*, τε θαλάσσῃ ΦΨ 203] = *VIII 350* πᾶσαι δ' ἀνθρώπων ψυχαὶ] = *III 558, 678; restitui ex ll. cc.*, ψυχαὶ δ' ἀνθρώπων πᾶσαι ΦΨ *hoc loco* ψυχαὶ βρύξουσιν ὀδοῦσιν] *cf. II 305* ἐπιβρύξουσι δ' ὀδοῦσιν | πάντες 204 ποταμῷ—ὁρμῇ] *cf. VIII 243* ποταμὸς πυρὸς ἠδὲ θεείου ποταμῷ τε θεείου] *ipse templavi*, ποταμῷ καὶ θείῳ ΦΨ 205 τέφρη δέ τε] *scripsi*, τέφρα δέ τε (τὲ φραδέ τε *P*) Φ, τέφρα δή τε Ψ 206] = *VIII 337, cf. III 80 sq.* τότε δὴ στοιχεῖα πρόπαντα | χηρεύσει κόσμου κόσμου στοιχεῖα πρόπαντα] *Castalio*, στοιχεῖα πρόπαντα τὰ κόσμου ΦΨ 207] *cf. VIII 338* ἀὴρ γαῖα θάλασσα φάος πυρὸς αἰθομένοιο ἀὴρ] ὅ τ' ἀὴρ Ψ 208] *cf. VIII 342* κοὐκ ἔτι πωτήσονται ἐν ἠέρι εὔπτεροι ὄρνεις πωτήσονται] ποτ$^{\varepsilon}$ήσονται *F*, ποτήσονται *R* ἐν ἠέρι] Φ, δι' ἠέρος Ψ, ἐπ' ἠέρος *e codicum scriptura VIII 342 restitui iussit Volkmann* 209] *cf. VIII 347* ζῷά τε νηκτὰ τρέμοντα θαλάσσης πάντα θανεῖται ζῷα] ζῶα τε Ψ νηκτὰ] νυκτὰ *A* 210] *cf. VIII 348* καὶ ναῦς φόρτον ἔχουσ' ἐπὶ κύμασιν οὐκ ἔτι πλεύσει ἔμφορτος] ἔμφορτός τ' Ψ 212] *cf. VIII 345* κόσμος ἄτακτος ἐὼν οὐ χρήσιμον ἦχον ἀκούσει λάβρων] *Meineke, qui etiam* θ' ἀδρῶν *coniecit*; ἀνδρῶν Φ. τ' ἀνδρῶν Ψ, δένδρων *Castalio* πάντα] πάντας Φ 213] = *III 87, cf. VIII 412* χωνεύσω γὰρ ἅπαντα καὶ ἐς καθαρὸν διαλέξω ἐς] εἰς *codd.* διαλέξει] διαφλέξει *anonymus Londin.*, διαλήξει? *Struve; sed cf. ll. cc.*

II ἡνίκα δ' ἀθανάτου θεοῦ ἄφθιτοι ἀγγελτῆρες
Ἀρακιὴλ Ῥαμιὴλ Οὐριὴλ Σαμιὴλ Ἀζαὴλ τε
αὐτοὶ ἐπιστάμενοι ὅσα τις κακὰ πρόσθεν ἔρεξεν
ἀνθρώπων ψυχὰς τότ' ἀπὸ ζόφου ἠερόεντος
ἐς κρίσιν ἄξουσιν πάσας ἐπὶ βῆμα θεοῖο
ἀθανάτου μεγάλου· εἷς γὰρ μόνος ἄφθιτός ἐστιν
αὐτὸς ὁ παντοκράτωρ, θνητῶν ὃ δικασπόλος ἔσται·
καὶ τότε νερτερίοις ψυχὰς καὶ πνεῦμα καὶ αὐδὴν
δώσει ἐπουράνιος καί τ' ὀστέα ἁρμοσθέντα
ἁρμοῖς παντοίοις σαρξίν, σάρκας τ' ἰδὲ νεῦρα
καὶ φλέβας ἠδέ τε δέρμα περὶ χροΐ καὶ πρὶν ἐθείρας·
ἀμβροσίως πηχθέντα καὶ ἔμπνοα κινηθέντα
σώματ' ἐπιχθονίων ἐνὶ ἤματι ἀνστήσονται.
καὶ τότ' ἀμειλίκτοιο καὶ ἀρρήκτου ἀδάμαντος
κλεῖθρα πέλωρα πυλῶν παγχαλκεύτων Ἀίδαο
ῥηξάμενος Οὐριὴλ μέγας ἄγγελος εὐθὺ βαλεῖται,
καὶ πάσας μορφὰς πολυπενθέας ἐς κρίσιν ἄξει,
εἰδώλων ῥα μάλιστα παλαιγενέων Τιτήνων

215] Henoch 6, 7 (Dillmann p. 82); *altera recensio (Ψ)*, ibid. 9, 1 (Dillmann p. 83) 218] Matth. 24, 31 221—226] Ezech. 37, 5—10

214 ἡνίκα] τηνίκα *Opsopoeus* 215] *duae versus recensiones in Φ et Ψ traduntur, de quarum fonte cf. supra; in Ψ enim legitur:* ἥξουσι μιχαὴλ τε γαβριὴλ ῥαφαὴλ τ' οὐριὴλ (τε *post* μιχαὴλ *delevit Alexandre, qui hanc recensionem in textum recepit)* Ἀρακιὴλ Ῥαμιὴλ] *ex Henoch 6, 7 Fabricio praeeunte (qui* Ἡρακιὴλ Ῥαμιὴλ *restitui iussit) corrigendum puto,* ἥκαρ' ἐρομιὴλ Φ Οὐριὴλ] Φ, *suspicetur quispiam* Τυριὴλ *ex l. c., sed cf. Sib. II 229* Σαμιὴλ] *ex Henoch dedi,* σαντὴλ Φ Ἀζαὴλ τε] Φ, *fortasse ex Henoch scribendum* Ἀζαλζὴλ *(om.* τε) 216 ὅσα] θ' ὅσα Ψ ἔρεξεν] ἔρρεξεν Ψ 217 ψυχὰς τότ' ἀπὸ] *ipse temptavi,* ψυχάς τε ἀπὸ Φ, ψυχὰς ἀπό τε Ψ ζόφου ἠερόεντος] ζώφου ἱερόεντος *P* 218 ἐς κρίσιν ἄξουσιν] *cf. II 230* ἐς κρίσιν ἄξει ἐς] εἰς *codd.* ἄξουσιν] ἄξουσι *R* 219 μεγάλου] μεγάλου γ' Ψ ἐστιν] ὢν Ψ, αἰεὶ *anonymus Londin.* 220] *om. R* αὐτὸς ὁ παντοκράτωρ] = *I 66 VIII 82 XI 8* ὃ] *Alexandre,* ὁ Φ Ψ 221 αὐδὴν] Ψ, ἀοιδὴν Φ 222 ἐπουράνιος—ἁρμοσθέντα] ἐπουράνιος θεὸς ὀστέα θ' ἁρμοσθέντα Ψ 223 σαρξίν, σάρκας τ' ἰδὲ νεῦρα] *ipse dedi Volkmannum secutus, qui (in specim. edit.)* σαρξὶν σάρκας καὶ νεῦρα *proposuit;* σαρξὶ σάρκες καὶ νεῦρα περὶ χροΐ *(supra* περὶ *scriptum habet* σὺν *A)* Φ *(*περὶ χροΐ *e sequenti versu intrusum esse vidit Castalio),* σαρξὶν δέ τε πάσαις σάρκας Ψ, καὶ ἀμβροσίως πηχθέντα *Alexandre (ex v. 225)* 224] *ita versum conformavit Volkmann,* καὶ φλέβες ἠδέ τε δέρμα δ' *(*θ' *A)* αἱ πρὶν ἔθειραι Φ, νεύρεσι νεῦρά τε καί τε φλέβεσσιν ἁπάσαις αἷμα | δέρμα δέ γ' ἐν χθονὶ αἱ πρὶν αἴθειραι εἰσαῦθις φύσουσιν Ψ, *unde Alexandre scripsit 224* σαρξὶν δ' ἐν πάσαις σάρκες, νεύροισί τε νεῦρα | καὶ φλέβες ἠδέ τε δέρμα· περὶ χροΐ δ' αἱ πρὶν ἔθειραι | εἰσαῦθις φύσουσι 225 ἀμβροσίως πηχθέντα] *in v. 223 clausulam transtulit Alexandre (cum* ἁρμοῖς παντοίοις *in unum versum coniuncta)* ἔμπνοα] ἔμπνυσα *P* 226 ἐνὶ ἤματι] ἐνὶ ἤματ' Ψ, *correxit anonymus Bernensis,* μίαν ἡμέραν Φ, *quod frustra defendit Alexandre,* μιᾷ ἡμέρᾳ *Meineke* ἀνστήσονται] *Castalio,* ἀναστήσονται *(*ἀναγήσονται *A)* Φ Ψ 227 καὶ ἀρρήκτου] καὶ ἀρήκτου *P,* τε κἀρρήκτου Ψ 228 παγχαλκεύτων] *ipse scripsi,* τε ἀχαλκεύτου Φ, τε ἀχαλκεύτου τ' Ψ, εὐχαλκεύτου *Meineke dubitans,* ἀχαλκεύτων *Volkmann, qui prius* ἀχαλκεύτου *scribi posse putaverat* 229 ῥηξάμενος] ῥηξάμενός τ' Ψ μέγας] *om.* Ψ 230 πάσας] *an* πάντων*?* ἐς κρίσιν ἄξει] *cf. II 218* ἐς κρίσιν ἄξουσιν 231 ῥα] *ipse scripsi,* τὰ Φ Ψ Τιτήνων] τε Τιτάνων Ψ

II ἠδέ τε Γιγάντων καὶ ὅσας εἷλεν κατακλυσμός,
ὅσσας δ᾽ ἐν πελάγεσσιν ἀπώλεσε κῦμα θαλάσσης
ἠδ᾽ ὁπόσας θῆρές τε καὶ ἑρπετὰ καὶ πετεηνὰ
θοινήσανθ᾽, ἀλέας ταύτας ἐπὶ βῆμα καλέσσει·
καὶ πάλιν, ὃς ἔφθειρεν ἐνὶ φλογὶ σαρκοφάγον πῦρ,
καὶ ταύτας ἐπὶ βῆμα θεοῦ στήσειεν ἀγείρας.
ἡνίκα δ᾽ ἀνστήσει νέκυας μοῖραν καταλύσας
καὶ καθίσει Σαβαὼθ Ἀδωναῖος ὑψικέραυνος
ἐς θρόνον οὐράνιον, μεγάλην δέ τε κίονα πήξει,
ἥξει δ᾽ ἐν νεφέλῃσι πρὸς ἄφθιτον ἄφθιτος αὐτὸς
ἐν δόξῃ Χριστὸς σὺν ἀμύμοσιν ἀγγελτῆρσιν
καὶ καθίσει μεγάλῳ ἐπὶ δεξιὰ βήματι κρίνων
εὐσεβέων βίοτον καὶ δυσσεβέων τρόπον ἀνδρῶν.
ἥξει καὶ Μωσῆς ὁ μέγας φίλος ὑψίστοιο
σάρκας δυσάμενος· Ἀβραὰμ δ᾽ αὐτὸς μέγας ἥξει,
Ἰσαὰκ ἠδ᾽ Ἰακώβ, Ἰησοῦς Δανιὴλ Ἠλίας,
Ἀμβακοὺμ Ἰωνᾶς τε καὶ οὓς ἔκτειναν Ἑβραῖοι.
τοὺς δὲ μετ᾽ Ἠρεμίαν ἐπὶ βήματι πάντας ὀλέσσει
κρινομένους Ἑβραίους, ἵνα ἄξια ἔργα λάβωσιν
καὶ τίσωσ᾽, ὅσα περ βιότῳ θνητῷ τις ἔπραξεν.
καὶ τότε δὴ πάντες διὰ δαιομένου ποταμοῖο

241 sqq.] Matth. 16, 27; 25, 31   248] Matth. 23, 34   251] Matth. 16, 27

252—254] cf. Lactant. div. inst. VII 21, 6 = vol. I p. 652, 2—6 Brandt: sed et iustos cum iudicaverit deus, etiam igni eos examinabit. tum quorum peccata vel pondere vel numero praevaluerint, perstringentur igni atque amburentur, quos autem plena iustitia et maturitas virtutis incoxerit, ignem illum non sentient

232 τε] om. Ψ   καὶ ὅσας εἷλεν] Φ (καὶ ὅσας εἷλε P), καὶ τότε ὅσους εἷλεν Ψ, an ὅσσας δέ θ᾽ ἕλεν?   233 ὅσσας δ᾽] ipse scripsi, καὶ τὰς Φ Ψ   234 ἠδ᾽] καί θ᾽ Ψ   τε καὶ] ipse scripsi, καὶ Φ Ψ   πετεηνὰ] πετεεινὰ A   235 θοινήσανθ᾽, ἀλέας] ipse temptavi, θοινήσαντο, ὅλας codd.   236 ἔφθειρεν ἐνὶ] ἔφθειρέ τε ἐν Ψ   238] cf. VIII 414 καὶ τότ᾽ ἀναστήσω νέκυας μοῖραν ἀναλύσας   ἀνστήσει] ipse dedi, ἀνστήσῃ Φ Ψ   μοῖραν] ex VIII 414 dedi, μοίρας Φ Ψ   239 καθίσει] Φ, καθίσῃ Ψ   Σαβαὼθ] σαβαὼθ τε Ψ   Ἀδωναῖος] Φ, ἀδωναὶ Ψ, Ἀδώναιος anonymus Londin.   240 μεγάλην] ipse correxi, τε μέγαν Φ, μέγαν Ψ   δέ] δή Ψ   πήξει] πήξει superscripto η F, πήξῃ LR   241 ἥξει] ἥξη Ψ   ἐν νεφέλῃσι] dubitans coniecit Alexandre, ἐν νεφέλῃ Φ Ψ   πρὸς ἄφθιτον] πρός τ᾽ ἄφθιτον Ψ   243 μεγάλῳ] μεγάλως Φ   ἐπὶ δεξιὰ] ἐπιδέξια Alexandre   244 εὐσεβέων] εὐσεβέων supra β scripto υ P   δυσσεβέων] δυσσευέων P   245 φίλος] φίλος θ᾽ Ψ   246 σάρκας δυσάμενος] = VII 70; sic P, σάρκα δυσάμενος A, σάρκ᾽ ἐπιειμένος Ψ   δ᾽] καὶ Ψ   ἥξει] ἥξη Ψ   247 ἠδ᾽] om. Ψ   Ἰησοῦς] ἰασοῦς P   Ἠλίας] ipse scripsi, τ᾽ ἠλίας Φ, ἠδ᾽ ἠλίας (ἠλίας F) Ψ   248 Ἀμβακοὺμ] ἀβακοὺμ A Ψ   Ἰωνᾶς] καὶ ἰωνᾶς Φ, καί τε ἰωνᾶς Ψ   τε καὶ] ipse scripsi, καὶ Φ, καί θ᾽ Ψ   ἔκτειναν] Volkmann, ἔκταν᾽ Φ, κτεῖναν Ψ   249 μετ᾽ Ἠρεμίαν] κατ᾽ Ἠρεμίαν ('die Zeitgenossen des Jeremias') proposuit Badt   Ἠρεμίαν] Ἱερεμίαν Alexandre suspicatus est (in Cur. poster.), sed cf. quae exposuit Badt Fleckeisen's Jahrb. 1874 p. 633 Ἠσαΐας formam allegans   ὀλέσσει] ὀλέσσει supra ει scripto η F, ὀλέσσῃ R   251 τίσωσ᾽ ὅσα περ] ipse scripsi, τίσουσ᾽ ὅσα περ Φ, τίσωσιν, ἅπερ Ψ   θνητῷ] an θνητός?   ἔπραξεν] ἔπρηξε FL   252—254] cf. VIII 410 sq. καρποὺς ἀθανάτους καὶ φῶς αἰώνιον ἕξεις καὶ ζωὴν ἀμάραντον, ὅτ᾽ ἂν πυρὶ πάντας ἐλέγξω   252 διὰ δαιομένου ποταμοῖο] = II

II καὶ φλογὸς ἀσβέστου διελεύσονθ᾽· οἵ τε δίκαιοι
πάντες σωθήσοντ᾽· ἀσεβεῖς δ᾽ ἐπὶ τοῖσιν ὀλοῦνται
εἰς αἰῶνας ὅλους, ὁπόσοι κακὰ πρόσθεν ἔρεξαν
ἠδὲ φόνους ἐποίησαν, ὅσοι δὲ συνίστορές εἰσιν,
ψεῦσται καὶ κλέπται δόλιοί τ᾽ οἰκοφθόροι αἰνοὶ
δειπνολόχοι καὶ κλεψίγαμοι δύσφημα χέοντες
δεινοί θ᾽ ὑβρισταί τ᾽ ἄνομοί τ᾽ εἰδωλολάτραι τε·
ἠδ᾽ ὁπόσοι μέγαν ἀθάνατον θεὸν ἐγκατέλειψαν,
βλάσφημοι δ᾽ ἐγένοντο καὶ εὐσεβέων κεραϊσταὶ
πιστολέται καὶ τῶν δικαίων φθισήνορες ἀνδρῶν·
ἠδ᾽ ὁπόσοι δολίοις καὶ ἀναιδέσιν ἀμφιπροσώποις
πρεσβύτεροι γεραροί τε διήκονες εἰσορόωσιν
εἰδόμενοι κρίνουσ᾽ ἀδίκως ἑτεροῖα ποιοῦντες,
ψευδαπάταις φήμῃσι πεπειθμένοι . . . .
παρδαλίων τε λύκων τ᾽ ὀλοώτεροι ἠδὲ κάκιστοι·
ἠδ᾽ ὁπόσοι μεγάλως ὑπερήφανοι· ἠδὲ τοκισταί,
οἳ τόκον ἐκ τοκετῶν συναθροίζοντες κατὰ οἴκους
ὀρφανικοὺς χήρας τε καταβλάπτουσιν ἑκάστα·
ἠδ᾽ ὁπόσοι χήρῃσι καὶ ὀρφανικοῖσι διδοῦσιν
ἐξ ἀδίκων ἔργων, ὁπόσοι δ᾽ ἰδίων ἀπὸ μόχθων
δόντες ὀνειδίζουσιν· ὅσοι δὲ γονεῖς ἐνὶ γήραι
κάλλιπον οὐ τίσαντες ὅλως, οὐ θρέπτρα γονεῦσιν

256 sqq.] cf. Ioann. Apoc. 21, 8; 22, 15 Paul. Corinth. I 6, 9 sq.

315 διὰ δαιομένου] correxi (an διὰ καιομένου?), διὰ αἰθομένου (αἰσθομένου P) Φ Ψ (αἰθομένου videtur irrepsisse ex II 196) 255 ἔρεξαν] ἔρρεξαν Ψ 256 ἠδὲ φόνους ἐποίησαν] cf. I 78 καὶ πολέμους ἐποίουν 257 sq.] cf. I 177 sq. ψεῦσται ἀπληστόχοροι κακοπράγμονες οὐδὲν ἀληθεῖς | λεκτροκλόποι θ᾽ εὐρεσσίλογοι δύσφημα χέοντες VIII 186 sq. ψεῦσται ἀπληστόχοροι κακοπράγμονες οὐδὲν ἀληθεῖς | πιστολέται ψευδέσσι λόγοις δύσφημα χέοντες αἰνοὶ] δεινοὶ Ψ 262 πιστολέται] cf. VIII 187 καὶ] τε καὶ A δικαίων] Φ, ἁγίων τε Ψ φθισήνορες] φθισίνορες Φ 263 ἀμφιπροσώποις] ἀμφὶ προσώποις A 264 διήκονες] Φ, διήκονοι anonymus Londin., διάκονοι Ψ 265 εἰδόμενοι] Klouček, qui εἰσορόωσιν dativum esse monuit, αἰδόμενοι Φ Ψ κρίνουσ᾽] Φ, γε κρίσιν τ᾽ Ψ ἑτεροῖα] Klouček, ἑτέροισι Φ Ψ ποιοῦντες] πονοῦντες superscripto οι A, ποοῦντες F 266 ψευδαπάταις—πεπειθμένοι] cf. XIV 260 ψευδαπάταις ὅρκοισι πεπειθμένοι ψευδαπάταις] Ψ, ψευδαπάται Φ; illud recte tuetur Ludwich praeeunte Alexandro (Cur. post. 'legerat ψευδαπάταις is qui scripsit lib. XIV v. 260' πεπειθμένοι] πεπεισμένοι Ψ, quam formam amplexi sunt Ludwich et Nauck; post lacuna in Φ, πλαζόμενοί τε Ψ, unde Ludwich ἁζόμενοί τε coniecit; αὐτὰρ ἐόντες suspicatus est Castalio 267 παρδαλίων τε λύκων τ᾽] = XIV 255 λύκων τ᾽] τ᾽ Castalio addidit, cf. Hom. N 103; om. Φ Ψ ὀλοώτεροι] ὀλοότεροι Ψ ἠδὲ] ἡ δὲ P 269 οἳ] καὶ Ψ ἐκ τοκετῶν] Volkmann, ἔκ γε τόκων Φ, ἐκ τόκων Ψ συναθροίζοντες κατὰ οἴκους] Φ Ψ (κατ[ὰ] οἳ οἴκους P), an συναθροίζοντες γε κατ᾽ οἴκους? κατὰ οἴκους] cf. III 726 270 χήρας] χῆρας Φ 271 χήρῃσι] χήρεσσι (χήρεσι P) Φ 272 ἐξ ἀδίκων ἔργων] = II 70 μόχθων] μοχθίων P 273 ἐνὶ] ἐν A 274 κάλλιπον] Castalio, κάλλειπον Φ, κάλιπον Ψ οὐ] Volkmann, οὔτε Φ Ψ τίσαντες] Φ, γε τιμήσαντες Ψ θρέπτρα] θρέπτα Φ γονεῦσιν] om. Ψ

II ἀντιπαρασχόντες, αὐτὰρ δ' ὅσοι ἠπείθησαν
ἠδὲ καὶ ἀντεῖπαν λόγον ἄγριον ἐς γενετῆρας·
ἠδ' ὁπόσοι πίστεις γε ἀπηρνήσαντο λαβόντες·
καὶ θεράποντες ὅσοι κατὰ δεσποτέων ἐγένοντο,
καὶ πάλιν οἳ τὴν σάρκα ἀσελγείῃ ἐμίηναν
ἠδ' ὁπόσοι ζώνην τὴν παρθενικὴν ἀπέλυσαν
λάθρῃ μισγόμενοι, ὅσσαι δ' ἐνὶ γαστέρι φόρτους
ἐκτρώσκουσιν, ὅσοι τε τόκους ῥίπτουσιν ἀθέσμως·
φαρμακέας καὶ φαρμακίδας σὺν τοῖσι καὶ αὐτοὺς
ὀργὴ ἐπουρανίοιο καὶ ἀφθάρτοιο θεοῖο
κίονι προσπελάσειεν, ὅπου περὶ κύκλον ἅπαντα
ἀκάματος ποταμὸς ῥεύσει πυρός· οὓς ἅμα πάντας
ἄγγελοι ἀθανάτου θεοῦ ἄφθιτοι, αἰὲν ἐόντος,
ἐν φλογίναις μάστιξι καὶ ἐν πυρίναις ἀλύσεσσιν
δεσμοῖς ἀρρήκτοισι περισφίγξαντες ὕπερθεν
δεινοτάτως κολάσουσιν· ἔπειτα δὲ νυκτὸς ἀμολγῷ
ἐν γεέννῃ θήρεσσ' ὕπο ταρταρίοισι βαλοῦνται
πολλοῖς δειμαλέοισιν, ὅπου σκότος ἔστιν ἄμετρον.
ἀλλ' ὁπότ' ἂν πολλὰς κολάσεις ἐνιποιήσωνται
πᾶσιν, ὅσων κακὸν ἦτορ ἔην, ἀτὰρ ὕστερον αὖτε
ἐκ ποταμοῦ μεγάλου πύρινος τροχὸς ἀμφικατέρξει
αὐτούς, ὅττι ῥα τοῖσιν ἀτάσθαλα ἔργα μέμηλεν.
καὶ τότε θρηνήσουσιν ἐπ' ἄλλυδις ἄλλος ἄπωθεν

275 αὐτὰρ δ'] τε ἀτάρ θ' Ψ 276 ἀντεῖπαν] ἀντεῖπον A Ψ ἐς] εἰς codd. 277 ἠδ'] οἱ δ' P γε] scripsi, τε codd. 278 δεσποτέων] Alexandre, δεσποτῶν Φ, δεσποτέων (η supra) L, δεσποτύων R 279 ἀσελγείῃ ἐμίηναν] Alexandre, ἀσελγίῃ μιήναντες (μιαίναντες A) Φ, ἀσελγείαις μιάναντες Ψ, ἀσελγείῃ μιάναντες Struve 280 ἠδ'] οἱ δ' P ζώνην] ζωὴν Φ 281 ὅσσαι δ'] δ' ὅσσαι (vel ὅσαι) Ψ 282 ὅσοι τε τόκους] Meineke et Volkmann, ὅσοι τοκετοὺς Φ Ψ ἀθέσμως] post hanc vocem distinxit Alexandre 283 φαρμακέας καὶ φαρμακίδας] ipse scripsi, cf. III 225; φαρμακοὺς ἢ φαρμακίδας coniecit Volkmann coll. Hipponact. Fr. 5, 2 B.[4]; φαρμακοὶ ἢ καὶ φαρμακίδες P, φαρμακοὶ ἢ φαρμακίδες A, φαρμακίδες καὶ φαρμακοὶ Ψ 284 ἐπουρανίοιο] Alexandre dubitans, ἐπουρανίου Volkmann, ἀπουρανίοιο L R, ἀπ' οὐρανοῖο F, ἀπ' οὐρανίοιο Φ 285 προσπελάσειεν] προσπελάσεις γε F, προσπελάσειε γε L, προσπελάσεις τε R 286 ἀκάματος—πυρός] cf. ad II 196 ῥεύσει] Volkmann coll. III 54; ῥείει suspicatus est Huetius; ῥεῖ Φ, τε ῥέει Ψ οὓς] Alexandre, τοὺς δ' Φ, τοὺς Ψ 287 ἀθανάτου] dedi, ἀθάνατοι Φ (in P minio additum o Betulei manu), ἀθανάτοιο Ψ θεοῦ ἄφθιτοι] scripsi, cf. II 214, θεοῦ Φ, θεοῖο τε Ψ, θεοῦ τοῦ Castalio ἐόντος] ἐόντες A, ἐῶντες P 288 ἀλύσεσσιν] ἀλύσεσι P L R, ἀλύσεσσι F 289 ἀρρήκτοισι] ἀρήκτοις τε Ψ 290 δεινοτάτως] δεινοτάτω P κολάσουσιν] καλάσουσιν P 291 γεέννῃ] A, γεέννη codd. cett. θήρεσσ'] anonymus Londin., θηρσὶν Φ, θηρσὶ δ' Ψ ὕπο ταρταρίοισι] ὑποταρταρίοισι anonymus Londin. βαλοῦνται] καλοῦνται Ψ 293 ἐνιποιήσωνται] ἐνὶ ποιήσωνται Φ, ἐνὶ ποιήσονται Ψ, ἐκποιήσωνται Meineke dubitans 294 πᾶσιν, ὅσων] Castalio, πᾶσιν ὅσον Φ, πᾶσι τε οἷς Ψ, unde Alexandre πᾶσιν ὅσοις coniecit ἀτὰρ] αὐτὰρ P 295 ἀμφικατέρξει] Alexandre, ἀμφικατάρξει Φ, ἀμφὶ καθέξει Ψ 296 αὐτούς] αὐτὰρ Φ ὅττι ῥα] Meineke, ὅττ' ἄρα Φ Ψ ὅττι—μέμηλεν] cf. II 313 ὁπόσοις τε δίκη καλά τ' ἔργα μέμηλεν μέμηλεν] P, μεμήλει codd. cett. 297 ἐπ'] fortasse ἀπ' scribendum esse censuit Alexandre (in Cur. post.) ἄπωθεν] ἄποθεν P F

II οἰκτροτάτῃ μοίρῃ πατέρες καὶ νήπια τέκνα,
μητέρες ἠδέ τε τέκν' ὑπομάζια δακρυόεντα.
οὐδέ σφιν δακρύων κόρος ἔσσεται οὐδὲ μὲν αὐδὴ
οἴκτρ' ὀλοφυρομένων ἐσακούσεται ἄλλυδις ἄλλον,
ἀλλὰ μακρὸν ζοφόενθ' ὑπὸ Τάρταρον εὐρώεντα
τειρόμενοι βώσονται· ἐπ' οὐχ ὁσίοισι δὲ χώροις
τίσουσιν τρὶς τόσσον ὅσον κακὸν ἤλιτον ἔργον,
δαιόμενοι πυρὶ πολλῷ· ἐπιβρύξουσι δ' ὀδοῦσιν
πάντες τηκόμενοι δίψῃ μαλερῇ πείνῃ τε,
καὶ καλέσουσι καλὸν τὸ θανεῖν καὶ φεύξετ' ἀπ' αὐτῶν.
οὐκ ἔτι γὰρ θάνατος τούτους, οὐ νὺξ ἀναπαύσει.
πολλὰ δ' ἐρωτήσουσι μάτην θεὸν ὑψιμέδοντα
καὶ τότ' ἀποστρέψει φανερῶς τὸ πρόσωπον ἀπ' αὐτῶν.
ἑπτὰ γὰρ αἰώνων μετανοίης σήματ' ἔδωκεν
ἀνδράσι πλαζομένοις διὰ χειρῶν παρθένου ἁγνῆς.
τοὺς δ' ἄλλους, ὁπόσοις τε δίκη καλά τ' ἔργα μέμηλεν
ἠδὲ καὶ εὐσεβίη τε δικαιότατοί τε λογισμοί,
ἄγγελοι αἰρόμενοι διὰ δαιομένου ποταμοῖο
ἐς φάος ἄξουσιν καὶ ἐς ζωὴν ἀμέριμνον,
ἔνθα πέλει τρίβος ἀθάνατος μεγάλοιο θεοῖο
καὶ τρισσαὶ πηγαὶ οἴνου μέλιτός τε γλάγους τε.
γαῖα δ' ἴση πάντων, οὐ τείχεσιν, οὐ περιφραγμοῖς

305] cf. ad 203 307] Ioann. Apoc. 9, 6

305—310] *cf. ad* VIII 350—355

299 τε] *om. A*, γε Ψ δακρυόεντα] Φ, νηπιόεντα Ψ 300 ἔσσεται] ἔσται Φ αὐδὴ] αὐδὴν Ψ 301 ἐσακούσεται] εἰσακούσεται Ψ 302 μακρὸν] *Volkmann*, μακρὰν Φ Ψ, μάτην *Klouček* 303 βώσονται] Ψ, βοάσονται Φ 304 τίσουσιν] τίσουσι Φ Ψ τρὶς] τρεῖς *A* ὅσον—ἔργον] *cf. I 399* ἐπεὶ κακὸν ἤλιτον ἔργον ἔργον] ἔργον *A* 305 δαιόμενοι] δευόμενοι Φ ἐπιβρύξουσι δ' ὀδοῦσιν] *cf. II 203 VIII 350* ψυχαὶ βρύξουσιν ὀδοῦσιν 306—312] *cf. VIII 352—358* 306] *cf. VIII 352* τηκόμεναι δίψῃ λιμῷ λοιμῷ τε φόνοις τε τηκόμενοι] τειρόμενοι *A* δίψῃ] δίψει Ψ πείνῃ τε] *Meineke* (*cf.* δίψῃ λιμῷ *l. c.*), τε βίῃ τε Φ Ψ 307] *cf. praeter VIII 353 etiam XIII 118* φθέγξονται καλὸν τὸ θανεῖν καὶ φεύξετ' ἀπ' αὐτῶν 308 τούτους] Ψ; κείνους *VIII 354* Ω (*ubi* Φ τ' αὐτούς, Ψ αὐτούς *habent*); τούτοις *hoc loco* Φ 311 *sq.*] *ex interpolatione libri VIII una cum versibus genuinis, qui antecedunt, huc translati sunt; cf. ad l. c.* 311 σήματ'] *ex VIII 357 scripsi*, ἤματ' Φ Ψ μετανοίης] μετανοίας *codd.* 312 χειρῶν] *ex VIII 358 dedi*, χειρὸς Φ Ψ 313 ὁπόσοις τε] ὁπόσους τε Φ. *an* ὅσσοις τε? μέμηλεν] μεμήλει Ψ 314 δικαιότατοί τε λογισμοί] *cf. VII 75* δικαιοτάτοις τε λογισμοῖς *XIV 7* δικαίων τε λογισμῶν 315 διὰ δαιομένου ποταμοῖο] = *II 252* διὰ δαιομένου] *correxi, cf. l. c.* (*an* διὰ καιομένου?), διαχθομένου Φ, τε δι' ἀχθομένου Ψ, διὰ αἰθομένου *Castalio* 316 ἐς φάος] *ipse correxi*, εἰς φῶς Φ Ψ ἄξουσιν] *anonymus Londin.*, ἄξουσι Φ Ψ καὶ] τε καὶ Ψ ἐς] εἰς *codd.* 317 μεγάλοιο] μεγάλου *A* 318] *cf. VIII 211* πηγὰς δὲ γλυκεροῦ οἴνου λευκοῦ τε γάλακτος | καὶ μέλιτος οἴνου μέλιτός τε γλάγους τε] *ipse scripsi*; γάλατός τε *Meineke coll. Eustath. 1761, 38 et 1818, 24*; οἴνου τε· μέλιτος· γάλακτος *P*, οἴνου τε μέλιτος καὶ γάλακτος *A*, τ' οἴνου τε μέλιτος γάλακτος Ψ, οἴνου μέλιτός τε γάλακτος *Opsopoeus*

II *ἐκπρομεριζομένη καρποὺς τότε πλείονας οἴσει*
αὐτομάτη, κοινός τε βίος καὶ πλοῦτος ἄμοιρος.
οὐ γὰρ πτωχὸς ἐκεῖ, οὐ πλούσιος οὐδὲ τύραννος,
οὐ δοῦλος, οὔτ' αὖ μέγας, οὐ μικρός τις ἔτ' ἔσται,
οὐ βασιλεῖς, οὐχ ἡγεμόνες· κοινῶς ἅμα πάντες.
κοὐκ ἔτ' ἐρεῖ τις ὅλως 'νὺξ ἤλυθεν', οὐδὲ μὲν 'αὔριον',
οὐκ 'ἐχθὲς γέγονεν'· οὐκ ἤματα πολλὰ μερίμνης,
οὐκ ἔαρ, οὐ χειμών, οὔτ' ἄρ θέρος, οὐ μετόπωρον,
[οὐ γάμος, οὐ θάνατος, οὐ πράσεις, οὐδ' ἀγορασμοί,]
οὐ δύσις ἀντολίη· ποιήσει γὰρ μακρὸν ἦμαρ.
τοῖς καὶ ὁ παντοκράτωρ θεὸς ἄφθιτος ἄλλο παρέξει
εὐσεβέεσσ', ὁπότ' ἂν θεὸν ἄφθιτον αἰτήσωνται·
ἐκ μαλεροῖο πυρός τε καὶ ἀκαμάτων ἀπὸ βρυγμῶν
ἀνθρώπους σῶσαι δώσει· καὶ τοῦτο ποιήσει.
λεξάμενος γὰρ ἐσαῦτις ἀπὸ φλογὸς ἀκαμάτοιο,
ἄλλοσ' ἀποστήσας, πέμψει διὰ λαὸν ἑαυτοῦ
ἐς ζωὴν ἑτέρην καὶ αἰώνιον ἀθανάτοισιν,
Ἠλυσίῳ πεδίῳ, ὅθι οἱ πέλε κύματα μακρὰ

319 *sq.*] = *VIII 209 sq., cf. II 30 sq. καὶ γῆ καρποφόρος καρποὺς πάλι πλείονας οἴσει | οὐδὲ μεριζομένη οὐδ' εἰσέτι λατρεύουσα VIII 28 sq. γαῖα θ' ὅρους ἕξει καὶ φρουροὺς πᾶσα θάλασσα | πᾶσι μεριζομένη δολίως τοῖς χρυσὸν ἔχουσιν XI 238 γῆ δὲ μελάμβωλος καρποὺς τότε πλείονας ἕξει* 320 *ἐκπρομεριζομένη] ipse templavi, cf. VIII 210, (an πᾶσι μεριζομένη ex VIII 29?) ἐκμεριζομένη P, ἐκμεριζομένου A, διαμεριζομένη Ψ, οὐδὲ μεριζομένη Alexandre (ex II 31 et Castalionis coniectura VIII 210) πλείονας] πίονας Meineke dubitans coniecit, sed cf. ll. cc.* 321] *cf. VIII 208 καὶ κοινὸς πάντεσσι βίος καὶ πλοῦτος ἐσεῖται XIV 354 κοινὰ δὲ πάντ' ἔσται καὶ φῶς ἴσον ἐν βιότοισιν κοινός τε βίος] restitui ex VIII 208, κοινοί τε βίοι Φ Ψ* 322—324] *cf. VIII 110 sq. οὐδεὶς δοῦλος ἐκεῖ, οὐ κύριος, οὐδὲ τύραννος, | οὐ βασιλεῖς, οὐχ ἡγεμόνες μάλα τῦφον ἔχοντες* 323 *οὐ δοῦλος] cf. XIV 351 οὐ δουλείη πολύμοχθος οὐ—μικρός] οὔτ' ἄρ δοῦλος δ' οὐ μέγας οὔτε μικρός Ψ* 324 *κοινῶς ἅμα] Φ, κοινῇ δ' ἅμα Ψ, κοινοὶ δ' ἅμα (= ἴσοι) dubitans Meineke* 325—328 *et* 330] *cf. VIII 424—427* 325] *cf. VIII 424 κοὐκ ἔτι λοιπὸν ἐρεῖς λυπούμενος 'αὔριον ἔσται' ἤλυθεν] Alexandre, ἦλθεν Φ Ψ οὐδὲ μὲν 'αὔριον'] (ἦλθεν) ἢ 'αὔριον ἔσται' Opsopoeus ex VIII 424; αὔριον ἔσται Volkmann ex eodem loco, οὐδὲ μὲν αὖρι (coll. ἔναντι = ἐναντίον) Meineke* 326 *sq.] praeter VIII 425 sq. cf. III 89 sq. οὐ νύξ, οὐκ ἠώς, οὐκ ἤματα πολλὰ μερίμνης | οὐκ ἔαρ, οὐ χειμών, οὔτ' ἄρ θέρος, οὐ μετόπωρον οὐκ ἐχθὲς] οὐδὲ χθὲς Boissonade dubitans οὐκ] δ' οὐκ Ψ, οὐχ (ἤματα) Φ μερίμνης] Volkmann correxit ex ll. cc., μεριμνᾶν Φ Ψ* 327] = *III 90 VIII 426; sic versum conformavi e scriptura codicum melioris notae Ω, quae extat VIII 426; οὐκ ἔαρ, οὐχὶ θέρος (θέρος γ' F, θέρος τ' L R), οὐ χειμών, οὐ μετόπωρον Φ Ψ hoc loco; sic III 90 VIII 426 in iisdem codicibus (Φ Ψ) scriptum* 328] *versum hunc cum Alexandro cancellis saepsi, non legitur in libro VIII (cf. ad 325 sqq.); Volkmann illum post 324 collocandum esse putavit οὐ γάμος, οὐ θάνατος, οὐ πράσεις, οὐδ' ἀγορασμοί] nominativos iam Opsopoeus restituendos esse censuit; οὐ γάμον, οὐ θάνατον (γ' inserit F, τ' L R), οὐ πράσεις, οὐδ' ἀγορασμούς Φ Ψ* 329 *δύσις ἀντολίη] Opsopoeus ex VIII 427, δύσιν ἀντολίην Φ Ψ (ἀνατολίην A R, ἀν τολίην eraso α F)*
330] *cf. ἀντίρρησιν, quam in fine huius libri habet Ψ* 331 *εὐσεβέεσσ'] scribendum videtur (cf. II 291 θήρεσσ' pro codicum θηρσίν), εὐσεβέσιν Φ, εὐσεβέσι θ' Ψ* 332 *ἐκ μαλεροῖο] ἐκ μαλεροῦ δὲ Volkmann τε καὶ ἀκαμάτων] ex Volkmanni scriptura καὶ ἀκαμάτων (cf. II 334) dedi, καὶ ἀθανάτων Φ, μακραιώνων τ' Ψ* 334 *ἐσαῦτις] ἐσαῦθις Nauck, εὐσταθεῖς Φ, τ' εὐσταθεῖς Ψ, ἕκαστον olim Alexandre* 335 *ἄλλοσ'] Huetius, ἄλλῳ Φ Ψ* 336 *ἐς] εἰς codd. ἑτέρην] scripsi, ἑτέραν codd.* 337 *πέλε] πέλει Ψ*

II λίμνης ἀενάου Ἀχερουσιάδος βαθυκόλπου.
αἲ αἲ ἐγὼ δειλή, τί γενήσομαι ἤματι τῷδε,
ἀνθ' ὧν δυσφροσύνῃσι πονησαμένη περὶ πάντων
ἤλιτον οὔτε γάμῳ μεμελημένη οὔτε λογισμοῖς·
ἀλλὰ καὶ ἐν μελάθροισιν ἐμοῦ πολυπάμμονος ἀνδρὸς
δευομένους ἀπέκλεισα· τὰ δ' ἔκνομα πρόσθεν ἔρεξα
εἰδυῖα. σὺ δέ, σῶτερ, ἐμῶν ἀπὸ μαστικτήρων
ῥῦσαι δή με κυνῶπιν, ἀναιδέα περ ῥέξασαν.
ἤδε δ' ἐγὼ λίτομαί σε βαιὸν παῦσαί μέ γ' ἀοιδῆς,
μαννοδότα ἅγιε, βασιλεῦ μεγάλης βασιλείης.

338 ἀενάου] A, ἀννάου P, ἀεννάου Ψ 339 sqq.] de hoc epilogo cf. VII 151 sqq. 339 cf. III 55 οἴ μοι, δειλαίη, πότ' ἐλεύσεται ἦμαρ ἐκεῖνο αἲ αἲ] αἶ αἶ Φ, αἶα δ' Ψ ἐγὼ δειλή] cf. VII 151 ἐμὲ τὴν λυγρήν ἐγὼ] Ψ, ἐγὼ δὲ Φ 340 δυσφροσύνῃσι] ipse temptavi, ἡ δύσφρων γε Φ, ἡ δύσφρων τε Ψ 341 οὔτε γάμῳ μεμελημένη] cf. VII 153 γάμος δ' οὐδεὶς ἐμελήθη γάμῳ] Nauck, cf. I 126 καλοῖς τ' ἔργοισι μεμηλώς (et quae exposuit vir doctus Mélanges Gréco-Romains IV p. 162 sq. et 585), γάμων A Ψ, γάμον P λογισμοῖς] Φ Ψ, λογισμῶν Opsopoeus (qui γάμων recepit), λογισμοῦ Alexandre contra dicente Nauckio l. c. 342 ἐμοῦ] ipse dedi, ἐμοῖς Φ Ψ πολυπάμμονος] Ψ, cf. Hom. Δ 433, πολυμάμμονος (πολυμμάμονος P) Φ, πολυπάμονος falso Alexandre 343 δευομένους ἀπέκλεισα] = VII 155 τὰ δ'—εἰδυῖα] cf. VII 151 sq. ὅσα γὰρ κακὰ πρόσθεν ἔρεξα | εἰδυῖ' ἔρεξα] ἔρρεξα Ψ 344 εἰδυῖα] nihil mutandum (cf. libellum meum Neue Beitr. zur Technik des nachhom. Hexam. p. 9) σὺ δέ] Ψ, οὐδέ τε Φ 345 κυνῶπιν] Castalio (sed falso accentu κύνωπιν), κύνωπι Φ, κύνωπα Ψ ἀναιδέα περ ῥέξασαν] ipse restitui, ἀναιδέα πρήξασαν Φ, ἀναιδέα πρήξασαν γε Ψ, ἀναιδέα τε πρήξασαν Meineke et Volkmann coniecerunt 346 ἤδε δ' ἐγὼ] Φ, cf. epitaphium Sibyllae a Pausania X 12, 6 servatum: ἅδ' ἐγὼ ἁ Φοίβοιο σαφηγορίς εἰμι Σίβυλλα; ἰδοὺ ἐγὼ Ψ, ἠνὶ δ' ἐγὼ Alexandre olim proposuit λίτομαι—ἀοιδῆς] λίτομαι βαιόν γέ με παῦσαι ἀοιδῆς Alexandre proposuit in Cur. poster., qui etiam λίτομαί σε βαιὸν παύσασθαι ἀοιδῆς coniecit σε] σέ γε Ψ παῦσαι μέ γ'] scripsi, παυσέμεν Φ, παῦσαι μ' Ψ (παῦσέ μ' L), παῦσαί με Alexandre 347 μαννοδότα ἅγιε] ipse transposui, ἅγιε μαννοδότα volgo μαννοδότα] A, μανονδόντα P, μανονδότα S p, μανοδότα Ψ βασιλείης] βασιλείας Φ 347] post hunc L R habent: ἐκ δὲ τοῦ δευτέρου λόγου στίχοι ψνη (ψκ L); στι[χι] ψμς F, (qui ad libri III versus 1 sq. adscriptum habet 'ἐκ τοῦ δευτέρου λόγου;' cf. adnotationem ad III 1); praeterea sequitur in Ψ: ἀντίρρησις εἰς τὸ 'τοῖς καὶ ὁ παντοκράτωρ' (II 330) versibus iambicis scripta:

ψευδῆ προφανῶς· οὐδὲ γὰρ λήξει ποτὲ
τὸ πῦρ κολάζον τοὺς κατακεκριμένους.
κἀγὼ γὰρ ἂν εὔξαιμι τοῦθ' οὕτως ἔχειν
οὐλαῖς μεγίσταις σφαλμάτων ἐστιγμένος,
αἳ μείζονος χρῄζουσι φιλανθρωπίας.
ἀλλ' αἰσχυνέσθω φληναφῶν Ὠριγένης
πέρας γενέσθαι τῶν κολάσεων λέγων.

Varietas lectionis: 1 ψευδῆ] ψεύδη proposuit Boissonade 4 ἐστιγμένος] Cotelerius, ἐστιγμένοι Ψ 6 φληναφῶν] φλιναφῶν L Ὠριγένης] ὠριγένης Ψ

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

III *Ὑψίβρομος μάκαρ οὐράνιος, ὃς ἔχεις τὰ Χερουβὶμ*
ἱδρυμένος, λίτομαι, παναληθέα φημίξασαν
βαιόν μ' ἄμπαυσον· κέκμηκε γὰρ ἔνδοθεν ἦτορ.
ἀλλὰ τί μοι κραδίη πάλι πάλλεται ἠδέ γε θυμὸς
τυπτόμενος μάστιγι βιάζεται ἔνδοθεν αὐδὴν
ἀγγέλλειν πάντεσσιν; ἀτὰρ πάλι πάντ' ἀγορεύσω,
ὅσσα θεὸς κέλεταί μ' ἀγορευέμεν ἀνθρώποισιν.
ἄνθρωποι θεόπλαστον ἔχοντες ἐν εἰκόνι μορφὴν
τίπτε μάτην πλάζεσθε καὶ οὐκ εὐθεῖαν ἀταρπὸν
βαίνετε ἀθανάτου κτιστοῦ μεμνημένοι αἰεί;
εἷς θεός ἐστι μόναρχος ἀθέσφατος αἰθέρι ναίων
αὐτοφυὴς ἀόρατος ὁρῶν μόνος αὐτὸς ἅπαντα·
ὃν χείρ γ' οὐκ ἐποίησε λιθοξόος οὐδ' ἀπὸ χρυσοῦ
τέχνης ἀνθρώπου φαίνει τύπος οὐδ' ἐλέφαντος·

1 sq.] Psalm. 79, 2; 98, 1

Inscriptio: πάλιν ἐν τῷ τρίτῳ αὐτῆς τόμῳ τάδε φησὶν ἐκ τοῦ δευτέρου λόγου περὶ θεοῦ Φ, πάλιν ἐν τῷ τρίτῳ αὐτῆς τόμῳ τάδε φησίν: Ψ; additum in margine ad v. 1 ἐκ τοῦ δευτέρου λόγου F, λόγος τρίτος R 1—3] *ad finem libri secundi pertinere suspicatus est Ewald* 1 *ὑψίβρομος] Volkmann, ὑψιβρεμέτα Φ Ψ οὐράνιος] Volkmann, οὐράνιε Φ, οὐράνι' Ψ (male ut videtur intellecto compendio) ὑψίβρομος μάκαρ οὐράνιος] an οὐράνιος ὑψιβρεμέτα scribendum? οὐράνι' ὑψιβρομῆτα μάκαρ Alexandre proposuit (in Cur. post.) τὰ] Ψ, τὸ Φ* 2 *ἱδρυμένος] Boissonade, ἱδρυμένον Φ Ψ λίτομαι] λίτομαί σε Ψ παναληθέα φημίξασαν] cf. V 7 XII 7 ἀληθέα φημιχθέντα* 3 *βαιόν μ' ἄμπαυσον] cf. XII 297 βαιὸν δ' ἄμπαυσόν με I 250 βαιὸν δ' ἀμπαύσασα βαιόν μ' ἄμπαυσον] ipse temptavi, ἄμπαυσον βαιόν με Meineke, παῦσον βαιόν με Φ, παῦσον βαιόν μ' ἢ F, παῦσον βαιόν μὴ L R, παῦσον βαιὸν ἐμὲ Hilberg κέκμηκε— ἦτορ] = XII 298 κέκμηκε] ipse correxi ex l. c., κέκμηκα Φ Ψ ἔνδοθεν ἦτορ] = XII 229 (praeter XII 298) ἔνδοθεν] cum Volkmanno scripsi e ll. cc., ἔνδοθι Φ Ψ* 4 *μοι] μου codd. πάλι πάλλεται] τ' αὖ πάλλεται Ψ, πάλιν ἄλλεται dubitans proposuit Alexandre* 5 *μάστιγι] μάστιξι Ψ ἔνδοθεν] δὲ ἔνδοθεν P, δὲ ἔνδοθι A* 6 *ἀγγέλλειν] ἐξαγγέλειν Ψ πάντεσσιν; ἀτὰρ πάλι] cum Meinekio dedi, πᾶσιν; αὐτὰρ (ἀτὰρ R) πάλι(ν) Φ Ψ ἀτὰρ πάλι] = III 16 πάλι] πάλιν Ψ* 8—11] *cf. Fragm. 1 sqq. ἄνθρωποι θνητοὶ καὶ σάρκινοι, οὐδὲν ἐόντες, | πῶς ταχέως ὑψοῦσθε βίου τέλος οὐκ ἐσορῶντες;* 9 *sq.] cf. Fragm. I 23 sq. τύφῳ καὶ μανίῃ δὲ βαδίζετε καὶ τρίβον ὀρθὴν | εὐθεῖαν προλιπόντες ἀπήλθετε τὴν δι' ἀκανθῶν | καὶ σκολόπων πλάζεσθε] πλάζεσθ^{ε}αι A ἀταρπὸν] ἀτραπὸν Ψ* 10 *βαίνετε] βαδίζετ' Ψ (cf. Fragm. I 23)* 11 *sq.] cf. Fragm. I 7 sq. εἷς θεός, ὃς μόνος ἄρχει, ὑπερμεγέθης ἀγένητος, | παντοκράτωρ ἀόρατος ὁρῶν μόνος αὐτὸς ἅπαντα* 13 *γ'] Castalio, τ' Φ. om. Ψ*

III ἀλλὰ ἄναξ ἀνέδειξεν αἰώνιος αὐτὸς ἑαυτὸν
ὄντα τε καὶ πρὶν ἐόντα, ἀτὰρ πάλι καὶ μετέπειτα.
τίς γὰρ θνητὸς ἐὼν κατιδεῖν δύναται θεὸν ὄσσοις;
ἢ τίς χωρήσει κἂν τοὔνομα μοῦνον ἀκοῦσαι
οὐρανίου μεγάλοιο θεοῦ κόσμον κρατέοντος;
ὃς λόγῳ ἔκτισε πάντα καὶ οὐρανὸν ἠδὲ θάλασσαν
ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν
ἄστρα τε λαμπετόωντα, κραταιὴν μητέρα Τηθύν,
πηγὰς καὶ ποταμοὺς πῦρ ἄφθιτον ἤματα νύκτας.
αὐτὸς δὴ θεός ἐσθ' ὁ πλάσας τετραγράμματον Ἀδὰμ
τὸν πρῶτον πλασθέντα καὶ οὔνομα πληρώσαντα
ἀντολίην τε δύσιν τε μεσημβρίην τε καὶ ἄρκτον.
αὐτὸς δ' ἐστήριξε τύπον μορφῆς μερόπων τε
καὶ θῆρας ποίησε καὶ ἑρπετὰ καὶ πετεηνά.
οὐ σέβετ', οὐδὲ φοβεῖσθε θεόν, ματαίως δὲ πλανᾶσθε
προσκυνέοντες ὄφεις τε καὶ αἰλούροισι θύοντες
εἰδώλοις τ' ἄλλοις λιθίνοις τ' ἀφιδρύμασι φωτῶν,
καὶ ναοῖς ἀθέοισι καθεζόμενοι πρὸ θυράων·
τηρεῖτε τὸν ἐόντα θεόν, ὃς πάντα φυλάσσει,
τερπόμενοι κακότητι λίθων κρίσιν ἐκλελαθόντες

24] cf. 'Iustin.' Cohort. ad Gentil. c. 38 (vol. II p. 124 Otto[3]) .. *γνῶτε ὅτι τὸ παρ' ὑμῖν χρηστήριον ἀξιωθὲν ὑπό τινος ὕμνον τοῦ παντοκράτορος ἐκδοῦναι θεοῦ, οὕτως ἐν μέσῳ τοῦ ὕμνου ἔφη· ὃν (sic Hutchin, ὅτι codd., ὃς Otto) πρῶτον πλάσσας (πλάσας codd.) μερόπων, Ἀδὰμ δὲ καλέσσας*

15 *ἀλλὰ ἄναξ] ipse suspicatus sum, ἀλλ' αὐτὸς Φ Ψ. ἀλλ' αὐτοῖς (hominibus) Hartel αἰώνιος] ipse scripsi, αἰῶνος Φ, αἰώνιον Ψ 16 πάλι] πάλιν Ψ 17] cf. Fragm. I 10 sq. τίς γὰρ σὰρξ δύναται τὸν ἐπουράνιον καὶ ἀληθῆ | ὀφθαλμοῖσιν ἰδεῖν θεὸν ἄμβροτον, ὃς πόλον οἰκεῖ; γὰρ] hoc loco ineptum esse putavit Bleek κατιδεῖν] ἰδεῖν Ψ ὄσσοις] ὅσσοις Φ 18 μοῦνον] μόνον Ψ 19 οὐρανίου] οὐρανοῖο Ψ κρατέοντος] κρατοῦντος Ψ 20—28] cf. Fragm. III 3—14 22 τε] om. P λαμπετόωντα] λαμπετόοντα A κραταιὴν] ipse scripsi, κραταιὰν Φ Ψ Τηθύν] τιθὺν A, τιθὴν P 23 καὶ] om. P 26] = VIII 321, cf. II 195 XI 3 ἀντολίης δύσιός τε μεσημβρίης τε καὶ ἄρκτου μεσημβρίην] Boissonade, μεσημβρίαν Φ Ψ 27] = Fragm. V 2 Anonym. praef. 86; vide etiam VIII 366 αὐτὸς γὰρ μορφὰς ἀνδρῶν καὶ νοῦν ἐτέκνωσε; totum versum sic constituit Castalio: αὐτὸς στήριξεν μερόπων μορφήν τε τύπον τε αὐτὸς δ' ἐστήριξε] ipse scripsi ex Fragm. V 2, αὐτὸς ὃς ἐστήριξε (στήριξεν om. ὃς A) codd. τύπον μορφῆς] ex Fragm. V 2 temptavi, τύπον μορφὴν Ψ, μορφὴν τύπον Φ μορφῆς μερόπων τε] μερόπων ἀνθρώπων in Lactantio (ubi Fragm. V 2 legitur) suspicatus est Hartel μερόπων τε] μερόπεσσιν coniecit Struve 28] cf. Fragm. III 8 sqq. πετεηνά] πετεεινά A 29] deest in P οὐ—θεόν] cf. Fragm. I 3 οὐ τρέμετ', οὐδὲ φοβεῖσθε θεόν οὐ] Castalio, cf. l. c., ὃν A σέβετ'] σέβεσθ' Ψ 30] cf. Fragm. III 27 προσκυνέοντες ὄφεις κύνας αἰλούρους, ἀνόητοι, | καὶ πετεηνὰ σέβεσθε προσκυνέοντες] καὶ προσκυνέοντες A τε καὶ] δὲ Ψ 31 εἰδώλοις τ' ἄλλοις] εἰδώλοις ἄλλοις τε Ψ; cf. VII 14 ἄλλοις εἰδώλοις Fragm. III 31 ἄλλα τε πολλὰ μάταια; εἰδώλοις τ' ἀλαοῖς Boissonade, εἰδώλοις τ' ἀλάλοις (cf. IV 7) Alexandre dubitans coniecit λιθίνοις—φωτῶν] cf. IV 28 λίθων ἀφιδρύματα κωφῶν XIV 62 θεῶν ἀφιδρύματα χειροποιητῶν Fragm. III 29 καὶ λίθινα ξόανα τ'] θ' Φ, καὶ Ψ ἀφιδρύμασι] dedi, ἱδρύμασι (ἱερύμασι P) Φ Ψ 33] cf. Fragm. I 15 αὐτὸν τὸν μόνον ὄντα σέβεσθ' ἡγήτορα κόσμου τὸν ἐόντα θεόν] cf. I 137 ὃ γ' ἐών 34 κρίσιν ἐκλελαθόντες] ipse dedi, idque etiam Meineke scribendum senserat, κρίσιν ἐκλαθέοντες Φ Ψ; an κρίσιος λελαθόντες?*

III ἀθανάτου σωτῆρος, ὃς οὐρανὸν ἔκτισε καὶ γῆν.
αἲ γένος αἱμοχαρὲς δόλιόν τε κακόν τ' ἀσεβές τε
ψευδῶν διγλώσσων τ' ἀνδρῶν ἢ καὶ κακοηθῶν
λεκτροκλόπων εἰδωλολατρῶν δόλια φρονεόντων,
οἷς κακὸς ἐν στέρνοισιν ἔφυ μεμανημένος οἶστρος,
αὐτοῖς ἁρπάζοντες, ἀναιδέα θυμὸν ἔχοντες·
οὐδεὶς γὰρ πλουτῶν καὶ ἔχων ἄλλῳ μεταδώσει,
ἀλλ' ἔσται κακίη δεινὴ πάντεσσι βροτοῖσιν,
πίστιν δ' οὐ σχήσουσιν ὅλως χῆραί τε γυναῖκες
στέρξουσιν κρυφίως ἄλλους πολλαὶ διὰ κέρδος,
κοὐ σπάρτην κατέχουσι βίου ἀνδρῶν λελαχοῦσαι.
αὐτὰρ ἐπεὶ Ῥώμη καὶ Αἰγύπτου βασιλεύσει
αἰὲν γ' εὐθύνουσα, τότ' ἄρ βασιλεία μεγίστη
ἀθανάτου βασιλῆος ἐπ' ἀνθρώποισι φανεῖται.
ἥξει δ' ἁγνὸς ἄναξ πάσης γῆς σκῆπτρα κρατήσων
εἰς αἰῶνας ἅπαντας ἐπειγομένοιο χρόνοιο.
καὶ τότε Λατίνων ἀπαραίτητος χόλος ἀνδρῶν·
τρεῖς Ῥώμην οἰκτρῇ μοίρῃ καταδηλήσονται.
πάντες δ' ἄνθρωποι μελάθροις ἰδίοισιν ὀλοῦνται,
ὁππότ' ἂν οὐρανόθεν πύρινος ῥεύσῃ καταράκτης.

35 ὃς—γῆν] = III 543, 786 36 αἲ] om. Ψ δόλιόν τε κακόν τ' ἀσεβές τε] scripsi, δόλιον κακὸν ἀσεβέων τε Φ, δόλιον κακῶν τ' ἀσεβέων τε Ψ 37 sq.] cf. I 177 sq. ψεῦσται ἀπληστόκοροι κακοπράγμονες οὐδὲν ἀληθεῖς | λεκτροκλόποι θ' εὑρεσσίλογοι δύσφημα χέοντες VIII 186 sq. ψεῦσται ἀπληστόκοροι κακοπράγμονες οὐδὲν ἀληθεῖς | πιστολέται ψεύδεσσι λόγοις δύσφημα χέοντες διγλώσσων—κακόηθων] ipse temptavi, ἢ διγλώσσων καὶ κακοηθῶν ἀνθρώπων Φ, ἢ διγλώσσων κακοηθῶν ἀνθρώπων Ψ, διγλώσσων ἀνθρώπων καὶ κακοηθῶν Castalio 38 λεκτροκλόπων] λευκτροκλόπων P 39 κακὸς] Castalio, κακὸν Φ Ψ. quod retinere voluit Volkmann, qui vertit: 'quibus malum h. e. peccatum in pectore est tamquam vesanus asilus' ἔφυν] scripsi, ἔνι Φ Ψ 40 αὐτοῖς] an αὑτοῖς? αὐτοῖς ἁρπάζοντες] Φ Ψ; vix scribendum αὐτοῖς δ' ἁρπάζουσιν, cf. I 176 ἁρπαλέοι τε τύραννοι ἀναιδέα—ἔχοντες] = I 130 41 γὰρ] om. Ψ πλουτῶν καὶ ἔχων] an πλοῦτόν περ ἔχων? 42 ἔσται] scripsi, ἔσσεται Ψ, ἔσεται Φ 44 στέρξουσιν] στέρξουσι Φ Ψ κρυφίως] κλυφίως P πολλαὶ] Φ Ψ, πολλὸν Volkmann, an πολλοὺς? πόρναι Hartel 45 κοὐ] Alexandre, οὐ codd. κατέχουσι] Alexandre, κατέχουσαι Φ Ψ (κατεχούσας R. κατεχοῦσας L) βίου ἀνδρῶν λελαχοῦσαι] βίου τ' ἀνδρῶν τε λαχοῦσαι Huetius βίου] τοῦ βίου Φ λελαχοῦσαι] Meineke, αἳ λαχοῦσαι Φ, αἱ λαχοῦσαι Ψ, γε λαχοῦσαι Alexandre 47—302] hos versus amplectebatur Ranconeti quaternio, cf. Opsopoei not. p. 29 et 36 47 αἰὲν γ' εὐθύνουσα] ipse temptavi, εἰς ἓν διθύνουσα P, εἰς ἓν δηθύνουσα A (cui patrocinatus est Gfroerer vertens 'longum prorogans imperium'), εἰς ἓν ἰθύνουσα Ψ, εἰς ἓν γ' ἰθύνουσα Alexandre τότ' ἄρ] Alexandre, qui praeterea τότ' αὖ coniecit, τότε δὴ Φ Ψ. τότ' ἂν Volkmann 49 sq.] cf. VIII 169 sq. καὶ τότε δ' ἁγνὸς ἄναξ πάσης γῆς σκῆπτρα κρατήσει | εἰς αἰῶνας ἅπαντας XIV 360 sq. καὶ τότε δ' ἁγνὸν ἔθνος πάσης γῆς σκῆπτρα κρατήσει | εἰς αἰῶνας ἅπαντας 50 ἅπαντας] cum Nauckio et Hilbergio restitui ex ll. cc., πάντας Φ Ψ ἐπειγομένοιο χρόνοιο] cf. II 186 κατεπειγομένοιο χρόνοιο 51] cf. VIII 93 πρῶτα δὲ Ῥωμαίων ἀπαραίτητος χόλος ἔσται χόλος] χόρος R ἀνδρῶν] fortasse reponendum ἔσται ex l. c. 52 τρεῖς] τρὶς Ψ 54] cf. II 196 καὶ τότε δὴ ποταμός τε μέγας πυρὸς αἰθομένοιο | ῥεύσει ἀπ' οὐρανόθεν II 286 ἀκάματος ποταμὸς ῥεύσει πυρός III 84 ῥεύσει δὲ πυρὸς μαλεροῦ καταράκτης | ἀκάματος VIII 243 ῥεύσει δ' οὐρανόθεν ποταμὸς πυρός

III οἴ μοι, δειλαίη, πότ' ἐλεύσεται ἦμαρ ἐκεῖνο
καὶ κρίσις ἀθανάτοιο θεοῦ μεγάλου βασιλῆος;
ἄρτι δέ τοι κτίζεσθε πόλεις κοσμεῖσθέ τε πᾶσαι
ναοῖς καὶ σταδίοις ἀγοραῖς ξοάνοισί τε χρυσοῖς
ἀργυρέοις λιθίνοις τε, ἵν' ἔλθητ' ἐς πικρὸν ἦμαρ.
ἥξει γάρ, ὁπότ' ἂν θείου διαβήσεται ὀδμὴ
πᾶσιν ἐν ἀνθρώποισιν. ἀτὰρ τὰ ἕκαστ' ἀγορεύσω,
ὅσσαις ἐν πόλεσιν μέροπες κακότητα φέρουσιν.
* * *
ἐκ δὲ Σεβαστηνῶν ἥξει Βελίαρ μετόπισθεν
καὶ στήσει ὀρέων ὕψος, στήσει δὲ θάλασσαν
ἠέλιον πυρόεντα μέγαν λαμπράν τε σελήνην,
καὶ νέκυας στήσει καὶ σήματα πολλὰ ποιήσει
ἀνθρώποις· ἀλλ' οὐχὶ τελεσφόρα ἔσσετ' ἐν αὐτῷ,
ἀλλὰ πλάνα, καὶ δὴ μέροπας πολλούς τε πλανήσει
πιστούς τ' ἐκλεκτούς θ' Ἑβραίους ἀνόμους τε καὶ ἄλλους
ἀνέρας, οἵ τινες οὔ πω θεοῦ λόγον εἰσήκουσαν.

63—70] cf. Matth. 24, 24 Marc. 13, 22 Ioann. Apocal. 13, 14

66—69] 'Hippolytus' de consumm. mundi 23 p. 106, 14 sqq. Lagarde *(de Antichristo): μετὰ δὲ τούτων ἁπάντων σημεῖα ἐπιτελέσει καὶ θαύματα φοβερὰ ἀλλ' οὐκ ἀληθῆ, ἀλλ' ἐν πλάνῃ, ὅπως πλανήσῃ τοὺς ὁμοίως αὐτῷ ἀσεβεῖς· εἰ δυνατὸν γὰρ καὶ τοὺς ἐκλεκτοὺς ἀποστήσει*

55] *cf. II 339 αἲ αἲ ἐγὼ δειλή, τί γενήσομαι ἤματι τῷδε* πότ'] *τότ' Volkmann* 56] = *VIII 213* 57—59 *sqq.*] *cf. XIII 64 sqq. νῦν κοσμεῖσθε, πόλεις Ἀράβων, ναοῖς σταδίοις τε | ἠδ' ἀγοραῖς πλατείαις τε καὶ ἀγλαοφεγγέι πλούτῳ | καὶ ξοάνοις χρυσῷ τε καὶ ἀργύρῳ ἠδ' ἐλέφαντι; praeterea v. VIII 123 XII 192 XIV 212 sqq.* 57 *ἄρτι δέ τοι*] *ἄρτι δέ τε A, ἄρτι δὲ τί L, αὐτὰρ νῦν Volkmann* *κοσμεῖσθε*] *κοσμεῖσθαι P F* 58 *ξοάνοισί τε χρυσοῖς*] *Meineke, χρυσοῖς (χρυσαῖς A) ξοάνοις τε Φ, χρυσοῖς τε ξοάνοις Ψ, an χρυσοῖς ξοάνοισιν?* 59 *λιθίνοις τε*] *λιθίνοισί θ' Meineke* *ἵν'—ἦμαρ*] = *VIII 124, cf. III 324 ὡς ἥξετε πικρὸν ἐς ἦμαρ XIII 68 ἵν' ἔλθητ' ἐς μέγα πένθος* *ἐς*] *εἰς codd.* 60 *θείου—ὀδμή*] *cf. VII 142 θείου δεινὴ περιβήσεται ὀδμή* 61 *ἐν*] *an ἐπ'?* *ἀνθρώποισιν. ἀτὰρ*] *A, ἀνθρώποισιν· αὐτὰρ P; ἀνθρώποις· ἀτὰρ Ψ* *ἀτὰρ—ἀγορεύσω*] *cf. III 210 τί δὴ καθ' ἓν ἐξαγορεύω* 62 *ὅσσαις*] *ὅσαις A* *πόλεσιν*] *πόλεσι Ψ* 62] *post hanc legitur in P: μετὰ τάδε προβαίνουσα τοῖς λόγοις περὶ τοῦ ἀπατεῶνος δαίμονος τοῦ ἀντιχρήστου φησὶν ὧδέ πῃ; in A (rubro scriptum): μετὰ τάδε προβαίνουσα τοῖς λόγοις περὶ τοῦ ἀπαταιῶνος φησὶν ἤγουν περὶ τοῦ ἀντιχρίστου ὧδε· nihil eiusmodi in Ψ; Castalio tertium hic librum incipere arbitratus est* 63—67] *cf. II 167 sq. καὶ Βελίαρ θ' ἥξει καὶ σήματα πολλὰ ποιήσει | ἀνθρώποις* 63 *δὲ*] *om. Ψ* *Βελίαρ*] *Βελίας Φ. cf. ad III 73* 64 *ὀρέων ὕψος*] *ὄρεα Ψ* *θάλασσαν*] *post hanc vocem αὐτός additum legitur in Ψ* 65 *τε*] *om. L* *λαμπράν*] *retinendum est, cf. Hesiod. Theog. 18* 66 *ποιήσει*] *ποιήσει F L* 67 *οὐχὶ*] *οὐ Ψ* 68 *πλάνα*] *Opsopoeus (cf. III 228), πλανᾶ (πλανᾷ A, πλανά L) Φ Ψ, an πλάνῃ (cf. III 231)?* *πολλούς τε πλανήσει*] *Alexandre, πολλοὺς πλανήσει Φ, τε καὶ πολλοὺς πλανήσει Ψ, πολλοὺς ἀπατήσει quispiam suspicetur, sed cf. 'Hippolytum' supra comm.* 69 *πιστοὺς—Ἑβραίους*] *cf. II 168 sq. ἐκλεκτῶν πιστῶν τε ... ἠδ' Ἑβραίων II 175 ἐκλεκτῶν πιστῶν θ' Ἑβραίων* *ἐκλεκτοὺς*] *ἐκκλεκτοὺς A* *θ'*] *τ' superscripto θ' A, τ' P, τε Ψ* 70 *οἵ τινες—εἰσήκουσαν*] *cf. I 53 ἀθανάτου μεγάλοιο θεοῦ λόγον εἰσαΐοντες* *οὔ πω θεοῦ λόγον*] *Φ (λόγον r teste Opsopoeo praebuit), οὔποθ' ὅλως θεοῦ Ψ (cui lectioni patrocinati sunt olim Alexandre et Volkmann, adversatus est Nauck Mél. Gréco-Rom. IV 496)*

III ἀλλ᾽ ὁπότ᾽ ἂν μεγάλοιο θεοῦ πελάσωσιν ἀπειλαί,
καὶ δύναμις φλογόεσσα δι᾽ οἴδματος ἐς γαῖαν ἥξει,
καὶ Βελίαρ φλέξει καὶ ὑπερφιάλους ἀνθρώπους
πάντας, ὅσοι τούτῳ πίστιν ἐνεποιήσαντο.
καὶ τότε δὴ πᾶς κόσμος ὑπαὶ παλάμῃσι γυναικὸς
ἔσσεται ἀρχόμενος καὶ πειθόμενος περὶ παντός.
ἔνθ᾽ ὁπότ᾽ ἂν κόσμου παντὸς χήρη βασιλεύσῃ
καὶ ῥίψῃ χρυσόν τε καὶ ἄργυρον εἰς ἅλα δῖαν
χαλκόν τ᾽ ἠδὲ σίδηρον ἐφημερίων ἀνθρώπων
ἐς πόντον ῥίψῃ, τότε δὴ στοιχεῖα πρόπαντα
χηρεύσει κόσμου, ὁπότ᾽ ἂν θεὸς αἰθέρι ναίων
οὐρανὸν εἱλίξῃ, καθ᾽ ἅπερ βιβλίον εἱλεῖται·
καὶ πέσεται πολύμορφος ὅλος πόλος ἐν χθονὶ δίῃ
καὶ πελάγει· ῥεύσει δὲ πυρὸς μαλεροῦ καταράκτης
ἀκάματος, φλέξει δὲ γαῖαν, φλέξει δὲ θάλασσαν
καὶ πόλον οὐράνιον νύκτ᾽ ἤματα καὶ κτίσιν αὐτὴν
εἰς ἓν χωνεύσει καὶ ἐς καθαρὸν διαλέξει.
κοὐκ ἔτι φωστήρων σφαιρώματα καγχαλόωντα,
οὐ νύξ, οὐκ ἠώς, οὐκ ἤματα πολλὰ μερίμνης,

72—74] cf. Ioann. Apocal. 20, 10 (cf. 19, 20) 75 sqq.] cf. Ioann. Apocal. 17, 3 sqq. 82] Es. 34, 4 (Ioann. Apocal. 6, 14) 83] cf. Matth. 24, 29

71] cf. III 97 ἀλλ᾽ ὁπότ᾽ ἂν μεγάλοιο θεοῦ τελέωνται ἀπειλαί ἀπειλαὶ] ἀπειλὰσ P 72 δύναμις] δυνάμεις P φλογόεσσα] Struve, φλογέουσα Φ Ψ ἐς] εἰς codd. ἥξει] ἥξει (η superscr.) A, ἥξη Ψ 73 Βελίαρ] Ψ, βελίηρ Φ φλέξει] φλέξη P, φλέξει superscripto η A ὑπερφιάλους] ὑπερφυάλους P 74 ὅσοι—ἐνεποιήσαντο] cf. I 352 ὅσοι τούτῳ πίστιν ἐνιποιήσονται ἐνεποιήσαντο] ἐνιποιήσαντο Ψ (ἐνιποήσαντο L) 75] cf. VIII 200 θηλυτέρης μετέπειτα μέγα κράτος πᾶς κόσμος ὑπαὶ] Alexandre coniecit (cf. κόσμου παντός v. 77), κόσμος ὑπὸ ταῖς Φ, κόσμος ὑπὸ Ψ 77 ἔνθ᾽] Alexandre, ἣν δ᾽ Φ Ψ βασιλεύσῃ] βασιλεύσει L 79 χαλκόν τ᾽ ἠδὲ] Nauck, καὶ χαλκόν τε Φ Ψ ἐφημερίων] ἐφημερίων τ᾽ Φ 80 ἐς] εἰς codd. τότε—κόσμου] cf. II 206 VIII 337 καὶ τότε χηρεύσει κόσμου στοιχεῖα πρόπαντα 81 κόσμου] κόσμῳ Φ θεὸς αἰθέρι ναίων] = II 27 82 οὐρανὸν εἱλίξῃ] cf. VIII 233 οὐρανὸν εἱλίξει VIII 413 οὐρανὸν εἱλίξω εἱλίξῃ] ex ll. cc. restituit Volkmann, εἱλίσσει Φ, εἱλίσῃ (εἱλίσει R) Ψ καθ᾽ ἅπερ βιβλίον εἱλεῖται] εἱλισσομένην ἅτε βίβλον coll. Apollinar. Psalm. 101, 53 ἑλισσόμενοι ἅτε φᾶρος dubitans coniecit Volkmann εἱλεῖται] P, εἰλεῖται codd. cett. 83 καὶ πέσεται] Alexandre, καὶ πεσεῖται καὶ Ψ, πεσεῖται (πεσσεῖτε P, πεσσεῖται p) Φ ὅλος πόλος] πόλος ὅλος A ὅλος] ὅλως R ἐν χθονὶ δίῃ] = I 184 III 180, 402 XII 28 δίῃ] scripsi, δίᾳ Φ Ψ 84] cf. ad III 54 85 ἀκάματος] ἀκάμαντος F φλέξει—κτίσιν αὐτὴν] cf. II 197 sqq. καὶ πάντα τόπον δαπανήσει | γαῖάν τ᾽ ὠκεανόν τε μέγαν γλαυκήν τε θάλασσαν, | λίμνας καὶ ποταμοὺς πηγὰς καὶ ἀμείλιχον Ἅιδην | καὶ πόλον οὐράνιον 86] cf. VIII 339 καὶ πόλος οὐράνιος καὶ νὺξ καὶ ἤματα πάντα (II 207 ἀὴρ γαῖα θάλασσα φάος πόλος ἤματα νύκτες) νύκτ᾽ ἤματα] ipse temptavi ex l. c. (cf. praeterea III 89), καὶ ἤματα Φ Ψ, καὶ σήματα (sidera) Hartel 87] = II 213, cf. VIII 412 χωνεύσει] χωνεύσῃ F ἐς] εἰς codd. διαλέξει] διαλέξῃ Ψ, διαφλέξει anonymus Londin., sed cf. ll. cc. 88 κοὐκ ἔτι] καὶ οὐκέτι Ψ φωστήρων] φοστήρων P σφαιρώματα καγχαλόωντα] = XIII 69 σφαιρώματα] σφαιρώματι R καγχαλόωντα] παμφανόωντα dubitans suspicatus est Alexandre 89 οὐκ ἠὼς] οὐχ ἠὼς P οὐκ ἤματα—μετόπωρον] = II 326 sq. VIII 425 sq.

III οὐκ ἔαρ, οὐ χειμών, οὔτ' ἄρ θέρος, οὐ μετόπωρον.
καὶ τότε δὴ μεγάλοιο θεοῦ κρίσις ἐς μέσον ἥξει
αἰῶνος μεγάλοιο, ὅτ' ἂν τάδε πάντα γένηται.

* * *

ὦ ὦ δὴ πλωτῶν ὑδάτων καὶ χέρσου ἁπάσης,
ἠελίου ἀνιόντος, ὅπου δὴ καὶ πάλι δύνει·
πάνθ' ὑπακούσονται κόσμον πάλιν εἰσανιόντι,
τοὔνεκ' ἄρ' αὐτὸς πρῶτος ἐπέγνω καὶ κράτος αὐτοῦ.

* * *

ἀλλ' ὁπότ' ἂν μεγάλοιο θεοῦ τελέωνται ἀπειλαί,

92] Matth. 5, 18 97—108] Genes. 11, 1—9

97—103. 105] Theophilus ad Autol. II 31 C = p. 146 sq. Otto: *Σίβυλλα μὲν οὕτως σεσήμακεν. καταγγέλλουσα ὀργὴν τῷ κόσμῳ μέλλειν ἔρχεσθαι· ἔφη δὲ οὕτως·* 97 '*ἀλλ'*'— 103 '*ὧρσαν*'; 105 '*αὐτὰρ*'—*ἀνθρώπων*' *adiuncto* VIII 5 '*εἰς πολλὰς θνητῶν ἐμερίσθησαν διαλέκτους.*' *καὶ τὰ ἑξῆς. ταῦτα μὲν οὖν ἐγενήθη ἐν γῇ Χαλδαίων* 97—110] Eusebius Chron. I p. 24 Schoene (Fragm. histor. Graec. ed. Müller II 502 sq.) e G. Sync. 80, 19: . . . *ἀλλὰ καὶ Ἀλέξανδρος ὁ Πολυΐστωρ ὡς ἐκ Σιβύλλης τάδε φησί* . . *Ἀλεξάνδρου τοῦ Πολυΐστορος περὶ τῆς πυργοποιίας. Σίβυλλα δέ φησιν ὁμοφώνων ὄντων πάντων ἀνθρώπων τινὰς τούτων πύργον ὑπερμεγέθη οἰκοδομῆσαι, ὅπως εἰς τὸν οὐρανὸν ἀναβῶσι· τοὺς δὲ θεοὺς (τοῦ δὲ θεοῦ cod., correxit Goar) ἀνέμους ἐμφυσήσαντας (ἐμφυσήσαντος cod., corr. Aucher, ἀμφισείσαντας coni. Gutschmid) ἀνατρέψαι αὐτοὺς καὶ ἰδίαν ἑκάστῳ φωνὴν δοῦναι, διὸ δὲ Βαβυλῶνα τὴν πόλιν κληθῆναι. μετὰ δὲ τὸν κατακλυσμὸν Τιτᾶνα καὶ Προμηθέα γενέσθαι· καὶ τὰ μὲν τῆς πυργοποιίας Ἀλέξανδρος ταῦτα. secuti sunt Alexandrum Polyhistorem scriptores hi:* Iosephus Flavius Antiq. Iud. I 4, 3 = vol. I p. 28, 1—10 Niese: *περὶ δὲ τοῦ πύργου τούτου (Βαβὲλ) καὶ τῆς ἀλλοφωνίας τῶν ἀνθρώπων μέμνηται καὶ Σίβυλλα λέγουσα οὕτως· 'πάντων ὁμοφώνων ὄντων τῶν ἀνθρώπων πύργον ᾠκοδόμησάν τινες ὑψηλότατον, ὡς ἐπὶ τὸν οὐρανὸν ἀναβησόμενοι δι' αὐτοῦ· οἱ δὲ θεοὶ ἀνέμους ἐπιπέμψαντες ἀνέτρεψαν τὸν πύργον καὶ ἰδίαν ἑκάστῳ φωνὴν ἔδωκαν· καὶ διὰ τοῦτο Βαβυλῶνα συνέβη κληθῆναι τὴν πόλιν'* Abydenus (Eusebius Chron. I p. 34 Schoene = Fragm. histor. Graec. ed. Müller IV 282) ex Sync. 81, 11—82, 2 et Euseb. praep. evang. IX 14, 2 = vol. I p. 482, 9 Dind.: *Ἀβυδηνοῦ περὶ τῶν αὐτῶν· ἐν τῇ δ' (δὴ Euseb. praep. evang. et Sync., correxit Gutschmid) λέγουσι τοὺς πρώτους ἐκ γῆς (ἐκ γῆς om. Sync.) ἀνασχόντας ῥώμῃ τε καὶ μεγέθει χαυνωθέντας καὶ δὴ θεῶν καταφρονήσαντας ἀμείνονας εἶναι τύρσιν ἠλίβατον ἀείρειν. ἵνα (ᾗ Sync., ᾗ Schoene) νῦν Βαβυλών ἐστιν, ἤδη τε ἆσσον εἶναι τοῦ οὐρανοῦ. καὶ τοὺς ἀνέμους θεοῖσι βωθέοντας ἀνατρέψαι περὶ αὐτοῖσι τὸ μηχάνημα· τοῦ δὴ τὰ ἐρείπια λέγεσθαι Βαβυλῶνα. τέως δὲ ὄντας ὁμογλώσσους ἐκ θεῶν πολύθροον φωνὴν ἐνείκασθαι (ἐνέγκασθαι Sync.). μετὰ δὲ Κρόνῳ (τε addit Sync.) καὶ Τιτῆνι συστῆναι πόλεμον (cf. quae ex Eupolemo 'ἐν τῷ περὶ Ἰουδαίων' affert Alexander Polyhistor apud Euseb. praep. evang. IX 17, 2, vol. I p. 484, 30 Dind. = Fragm. histor. Graec. ed. Müller III p. 211 sq., Alexandri fr. 3) cf.* Schol. ad Platon. Phaedr. p. 244 B: *ταύτην (Σίβυλλαν*

90] *sic versum restitui e scriptura codicum melioris notae Ω VIII 426, ubi videsis; οὐκ ἔαρ, οὐχὶ θέρος (θέρος τ' Ψ). οὐ χειμών, οὐ μετόπωρον Φ Ψ et hic et ll. cc. (cf. ad II 327)* 91] *cf. III 742 ἐς δὲ βροτοὺς ἥξει κρίσις ἀθανάτοιο θεοῖο ἐς] εἰς codd.* 92 *ὅτ' ἂν—γένηται] cf. III 570 μέχρι πάντα γένηται* 92] *lacuna indicatur intermisso spatio in Φ; λείπει ἡ ἀρχὴ additum habet P, λείπουσι στίχοι A in margine; similiter etiam in p r vacuo spatio notaque defectus versum 92 a reliquis disiunctum fuisse dicit Opsopoeus; in Ψ haece leguntur: ἐνταῦθα ζήτει τὰ λείποντα ἀπὸ τοῦ δευτέρου λόγου καὶ τὴν ἀρχὴν τοῦ τρίτου. Ranconetum hic tertium clausisse librum refert Opsopoeus, quartum incohasse* 93 *ὦ ὦ δὴ] ὦ δὴ Ψ, aut αὐτῷ δὴ aut ᾧ δὴ καὶ scribendum censuit Alexandre* 94 *πάλι] πάλιν Ψ* 95 *εἰσανιόντι] εἰς ἀνιόντι P, εἰσανιόντος Ψ* 96 *τοὔνεκ'] an οὕνεκ'? ἐπέγνω καὶ] A, ἐπέγνωκε P, ἐπέγνωκε τὸ Ψ, ἐπέγνω τὸ Alexandre* 97] *cf. III 71 ἀλλ' ὁπότ' ἂν μεγάλοιο θεοῦ πελάσωσιν ἀπειλαί*

III ἧς ποτ' ἐπηπείλησε βροτοῖς, ὅτε πύργον ἔτευξαν
χώρῃ ἐν Ἀσσυρίῃ· ὁμόφωνοι δ' ἦσαν ἅπαντες
καὶ βούλοντ' ἀναβῆναι ἐς οὐρανὸν ἀστερόεντα·
αὐτίκα δ' ἀθάνατος μεγάλην ἐπέθηκεν ἀνάγκην
πνεύμασιν· αὐτὰρ ἔπειτ' ἄνεμοι μέγαν ὑψόθι πύργον
ῥίψαν καὶ θνητοῖσιν ἐπ' ἀλλήλους ἔριν ὦρσαν·
τοὔνεκά τοι Βαβυλῶνα βροτοὶ πόλει οὔνομ' ἔθεντο.
αὐτὰρ ἐπεὶ πύργος τ' ἔπεσεν γλῶσσαί τ' ἀνθρώπων
παντοδαπαῖς φωνῆσι διέστραφεν, αὐτίχ' ἅπασα
γαῖα βροτῶν πληροῦτο μεριζομένων βασιλειῶν.
καὶ τότε δὴ δεκάτη γενεὴ μερόπων ἀνθρώπων,
ἐξ οὗ περ κατακλυσμὸς ἐπὶ προτέρους γένετ' ἄνδρας.

Ἑβραΐαν) καὶ τὰ περὶ τῆς πυργοποιίας χρησμῳδῆσαί φασι καὶ ὅσα τοῖς τούτων συνέβη τολμήμασιν. χρησμῳδῆσαι δὲ πρὸ τῆς διαιρέσεως τῶν γλωσσῶν γενομένην γλώσσῃ φασὶ τὰ χρησμῳδηθέντα τῇ Ἑβραΐδι 105—146] *paucis mutatis ex hac parte carminis hausit* Moses Chorenensis histor. Armen. I cap. 6 (p. 15 Whiston = Langlois Collection des histor. de l'Arménie II p. 59 sq.) *his praemissis:* mihi vero libitum est narrationis meae initium ordiri a dilecta mea ceterisque veraciore Sibylla Berosiana, quae hoc dicit: 'ante turrim' *cet.* 108—113] Athenagoras supplic. pro Christian. c. 30 = p. 156 Otto: *Σίβυλλα (μέμνηται δ' αὐτῆς καὶ Πλάτων)·* 108 *'καὶ τότε'* — 113 *'ἀνθρώπων'* 108—111] Tertullianus ad nation. II 12 = vol. I p. 120, 10—16 Reifferscheid-Wissowa: ante enim Sibylla quam omnis litteratura extitit, illa scilicet Sibylla veri vera vates de cuius vocabulo daemoniorum vatibus induistis. ea senario versu in hunc sensum de Saturni prosapia et rebus eius exponit: 'decima', inquit, 'genitura hominum ex quo cataclysmus prioribus accidit, regnavit Saturnus et Titan et Iapetus (iamfetus A, *corr. Oehler*), Terrae et Caeli fortissimi filii'

98 *ποτ' ἐπηπείλησε] ποτε ἠπείλησε Ψ ὅτε] Theophilus, οἳ codd. Sibyll. ὅτε—ἀστερόεντα] cf. XI 9 sq. ἀνδρῶν, οἵ τ' οὐρανῷ ἀντιφέροντες | πύργον δωμήσαντ' ἐς ἀθέσφατον ὕψος* 100 *βούλοντ'] ἐβούλοντο codd. Ven. Bodl. Theophili ἀναβῆναι ἐς] Alexandre, ἀναβῆναι εἰς Ψ Theophilus, ἀναβῆν' εἰς Φ (quod Alexandro magis placuit in Cur. poster.)* 101 *αὐτίκα δ' ἀθάνατος] Theophilus, αὐτίκα ἀθάνατος Φ (sed αὐτίκά A), αὐτίκ' ἀθάνατος Ψ μεγάλην—ἀνάγκην] hemistichium servavit Theophilus, om. codd. Sibyll.; in P minio additum legitur 'λείπει'* 102 *αὐτὰρ] ἀτὰρ Ψ ἔπειτ'] ἔπειτα Theophili cod. Ven. μέγαν ὑψόθι] μέγαν ὑψόθεν Ψ* 103 *ῥίψαν] ἔριψαν Theophili codd. Ven. Bodl.; in Bodl. superscr. ἔρριψαν καὶ—ὦρσαν] cf. XI 13 οἳ δὲ κακήν γ' ἄρ' ἐπ' ἀλλήλους ἔριν ὦρσαν III 119 ἐπ' ἀλλήλους ἔριν ὦρσαν ἐπ' ἀλλήλους] ex ll. cc. scribendum, ἐπ' ἀλλήλοις Φ, ἐπ' ἄλλοις Ψ* 104] *om. Theophilus* 105] *om. A αὐτὰρ—ἔπεσεν] cf. VIII 4 ἐξ ὅτε δὴ πύργος τ' ἔπεσεν XI 12 ἦ πέσε πύργος τ' ἔπεσεν] τ' ἔπεσε Φ Ψ, τε ἔπεσεν Theophili codd. Ven. Bodl. γλῶσσαι—διέστραφεν] cf. VIII 4 γλῶσσαί τ' ἀνθρώπων | ἐς πολλὰς θνητῶν ἐμερίσθησαν διαλέκτους XI 4 παντοδαπαῖς φωναῖς μεμερισμένα* 106] *huius loco Theophilus habet εἰς πολλὰς θνητῶν ἐμερίσθησαν διαλέκτους, qui versus est Orac. Sib. VIII 5* 106] *inde ab hoc versu Sibyllinorum codex B, in quo omnia desiderantur quae inter I 381 et III 106 interiacent, integrum praebet textum φωνῆσι] scripsi, φωνέεσσι P, φωναῖσι codd. cett. διέστραφεν] Hartel, διέστρεφον Φ Ψ αὐτίχ'] ipse correxi, αὐτὰρ Φ Ψ, cf. ad XII 147 αὐτίχ'—βασιλειῶν] cf. XI 15 μερίζετο γαῖα δ' ἅπασα | ἀλλοδαπῶν ἀνδρῶν καὶ παντοδαπῶν διαλέκτων* 107 *βασιλειῶν] Alexandre coniecit, βασιλήων Φ Ψ* 108] = *XI 14, cf. II 15 καὶ τότε δὴ γενεὴ δεκάτη μετὰ ταῦτα φανεῖται | ἀνθρώπων καὶ] δὴ pars codd. Athenagorae* 109] *cf. XI 6 ἐξ οὗ περ] ἐξ οὗ Ψ, ἐξ οὗ δὴ Athenagoras, ἐξ οὗ γὰρ Orac. Sib. XI 6 γένετ' ἄνδρας] γένετ' ἀνέρασ P, γένετ' ἀνθρώπους B, ἀνθρώπους (omisso γένετ') A, γένετ' ἀνθρώπους superscripto ἄνδρας S*

III καὶ βασίλευσε Κρόνος καὶ Τιτὰν Ἰαπετός τε·
Γαίης τέκνα φέριστα καὶ Οὐρανοῦ ἐξεκάλεσσαν
ἄνθρωποι, γαίης τε καὶ οὐρανοῦ οὔνομα θέντες,
οὕνεκά τοι πρώτιστοι ἔσαν μερόπων ἀνθρώπων.
τρισσαὶ δὴ μερίδες γαίης κατὰ κλῆρον ἑκάστου
καὶ βασίλευσεν ἕκαστος ἔχων μέρος οὐδ' ἐμάχοντο·
ὅρκοι γάρ τ' ἐγένοντο πατρὸς μερίδες τε δίκαιαι.
ἡνίκα δὴ πατρὸς τέλεος χρόνος ἵκετο γήρως
καί ῥ' ἔθανεν· καὶ παῖδες ὑπερβασίην ὅρκοισιν
δεινὴν ποιήσαντες ἐπ' ἀλλήλοις ἔριν ὦρσαν,
ὃς πάντεσσι βροτοῖσιν ἔχων βασιληίδα τιμὴν
ἄρξει· καὶ μαχέσαντο Κρόνος Τιτάν τε πρὸς αὐτούς.
τοὺς δὲ Ῥέη καὶ Γαῖα φιλοστέφανός τ' Ἀφροδίτη,
Δημήτηρ Ἑστίη τε εὐπλόκαμός τε Διώνη
ἤγαγον ἐς φιλίην συναγείρασαι βασιλῆας
πάντας ἀδελφειούς τε συναίμους τ' ἠδὲ καὶ ἄλλους
ἀνθρώπους, οἵ τ' ἦσαν ἀφ' αἵματος ἠδὲ τοκήων·
καὶ κοῖναν βασιλῆα Κρόνον πάντων βασιλεύειν,
οὕνεκά τοι πρέσβιστος ἔην καὶ εἶδος ἄριστος.

110 sqq.] cf. Hesiod. Theog. 126—138, 455—457

110 sqq.] Lactantius div. inst. I 14, 8 = vol. I p. 54, 13—15 Brandt: haec historia *(de Saturno et Titanibus)* quam vera sit, docet Sibylla Erythraea eadem *(quae Ennius in Sacra historia, cf. Lactant. I 14, 1)* fere dicens, nisi quod in paucis quae ad rem non attinent discrepat 113] Tertullianus ad nation. II 12 = vol. I p. 120, 4—7 Reifferscheid-Wissowa: nihil allego de statu antiquitatis, qua ita rudes tunc agebantur et oculi et mentes hominum, ut cuiuslibet novi viri aspectu quasi divino commoverentur, nedum et regis et quidem primi 121] *cf. Abydenum ad III 97 laudatum*

110 καὶ βασίλευσε] *κἀβασίλευσε A* βασίλευσε Κρόνος] *sic etiam codd. Par. 1 (anni 914) et Argent. (saec. XIII) Athenagorae,* βασιλεὺς ὁ κρόνος *cett. Athenagorae* Τιτὰν] τιτᾶν *P B* 111 Οὐρανοῦ – τε καὶ] *om. A oculis librarii aberrantibus* Οὐρανοῦ ἐξεκάλεσσαν] οὐρανοῦ ἐξεκάλεσαν *(Betuleius* σσ *superscripsit) P,* οὐρανοῦ ἐκάλεσσαν *Ψ,* οὐρανοὺς ἐκάλεσσαν *codd. Athenagorae, unde Maranus* Οὐρανοῦ οὓς ἐκάλεσσαν, *Ducaeus* οὐρανίους ἐκάλεσσαν *coniecerunt* 112 γαίης—οὐρανοῦ] γαῖάν τε καὶ οὐρανὸν *Athenagoras* οὔνομα] ὄνομα *A F* 113 οὕνεκά τοι] = *III 128* τοι] *ex l. c. scribendum censui cum Alexandro (Cur. post.),* οἱ *Φ Ψ* πρώτιστοι] *Athenagoras,* 'nedum et regis et quidem primi' *Tertullianus;* προφέριστοι *codd. Sibyll. (videtur ex v. 111 [φέριστα] irrepsisse)* 114 *sq.] cf. I 293 sq.* τρεῖς γὰρ βασιλεῖς μεγάθυμοι | ἄνδρες δικαιότατοι διαδάσσονται τότε μοίρας 115 καὶ βασίλευσεν] *Ψ,* κἀβασίλευσεν *Φ* οὐδ' ἐμάχοντο] οὐδὲ μάχοντο *P* 116 ὅρκοι – πατρὸς] *an transponendum* πατρὸς γάρ τ' ἐγένονθ' ὅρκοι*?* 117 ἡνίκα] ἠνίκα *Ψ* δὴ] δὲ *B* 118 ἔθανεν] ἔθανε *Ψ* ὅρκοισιν] ὅρκοις *Ψ; an* ἐπίορκοι *scribendum?* 119 ἐπ' ἀλλήλοις ἔριν ὦρσαν] *cf. ad III 103* 121 Τιτὰν] τιτᾶν *P* αὐτούς] *Φ,* αὐτοὺς *Opsopoeus,* ἑαυτούς *Ψ* 122 δὲ Ῥέη] *Alexandre,* δ' ἤρη *Φ Ψ (sed cf. 136)* 123 Δημήτηρ—εὐπλόκαμος] *ipse scripsi (de synizesi cf. Hom. B 537* πολυστάφυλόν θ' Ἱστίαιαν*),* δημήτηρ τε καὶ ἑστίη εὐπλόκαμος *Φ,* δημήτηρ ἑστία τε καὶ εὐπλόκαμος *Ψ,* Δημήτηρ Ἑστίη, εὐπλόκαμος *olim Volkmann* τε Διώνη] διώνη *(τε om.) Ψ* 125 ἠδὲ] τ' ἠδὲ *Ψ,* ἠὲ *Φ* ἄλλους] ἀλλήλους *F* 127 καὶ κοῖναν] *doctus quidam vir (cf. Alexandri Excurs. ad Sibyll. p. 602),* κἄκοιναν *olim Volkmann,* καί ῥ' ἔκριναν *Φ Ψ* 128 πρέσβιστος ἔην καὶ] *anonymus Parisin.,* πρέσβιστός τ' *om. A* ἦν γε καὶ *Φ,* πρέσβιστός τ' ἦν *(omissis* γε καὶ*) Ψ,* πρέσβιστος ἔην τε καὶ *Volkmann*

III *ὅρκοις δ' αὖτε Κρόνῳ μεγάλους Τιτὰν ἐπέθηκεν,*
μὴ θρέψαι ἄρσεν παίδων γένος, ὡς βασιλεύσῃ
αὐτός, ὅτ' ἂν γῆράς τε Κρόνῳ καὶ μοῖρα πέληται.
ὁππότε κεν δὲ Ῥέη τίκτῃ, παρὰ τῇδ' ἐκάθηντο
Τιτῆνες καὶ τέκνα διέσπων ἄρσενα πάντα,
θήλεα δὲ ζώοντ' εἴων παρὰ μητρὶ τρέφεσθαι.
ἀλλ' ὅτε δὴ τριτάτῃ γενεῇ τέκε πότνια Ῥείη,
τίχθ' Ἥρην πρώτην· καὶ ἐπεὶ ἴδον ὀφθαλμοῖσιν
θῆλυ γένος, ᾤχοντο πρὸς αὐτοὺς ἄγριοι ἄνδρες
Τιτῆνες. καὶ ἔπειτα Ῥέη τέκεν ἄρσενα παῖδα,
τὸν ταχέως διέπεμψε λάθρῃ ἰδίῃ τε τρέφεσθαι
ἐς Φρυγίην τρεῖς ἄνδρας ἐνόρκους Κρῆτας ἑλοῦσα·
τοὔνεκά τοι Δί' ἐπωνομάσανθ', ὅτι ἡ διεπέμφθη.
ὣς δ' αὔτως διέπεμψε Ποσειδάωνα λαθραίως.
τὸ τρίτον αὖ Πλούτωνα Ῥέη τέκε δῖα γυναικῶν
Δωδώνην παριοῦσα, ὅθεν ῥέεν ὑγρὰ κέλευθα
Εὐρώπου ποταμοῖο καὶ εἰς ἅλα μίρατο ὕδωρ
ἄμμιγα Πηνειῷ, καί μιν στύγιον καλέουσιν.
ἡνίκα δ' ἤκουσαν Τιτῆνες παῖδας ἐόντας
λάθριον, οὓς ἔσπειρε Κρόνος τε Ῥέη τε σύνευνος,
ἑξήκοντα δέ τοι παῖδας συναγείρατο Τιτὰν
καί ῥ' εἶχ' ἐν δεσμοῖσι Κρόνον τε Ῥέην τε σύνευνον,
κρύψεν δ' ἐν γαίῃ καὶ ἐν ζωσμοῖς ἐφύλασσεν.
καὶ τότε δή μιν ἄκουσαν υἱοὶ κρατεροῖο Κρόνοιο

132—140] cf. Hesiod. Theog. 459—480

129 *μεγάλους] μεγάλοις A   Τιτὰν] τιτᾶν P*   130 *μὴ θρέψαι ἄρσεν] ipse correxi, an μὴ θρέψ' ἀρσενικῶν? (cf. III 596 ἀρσενικοὺς παῖδας), μὴ θρέψ' ἄρσενα καὶ Φ, μὴ θρέψ' ἄρρενα Ψ   βασιλεύσῃ] βασιλεύσει Φ*   131 *ὅτ' ἂν] ὁπόταν L   μοῖρα] κῆρα F   πέληται] A Ψ, πέπληται codd. cett.*   132 *δὲ] om. B   τίκτῃ] Volkmann, τίκτεν (τίκτε) Φ Ψ   τῇδ'] dubitans coniecit Alexandre, τήνδ' Φ Ψ*   133 *διέσπων] an διέσπαον?   ἄρσενα] Alexandre, ἄρρενα Φ Ψ   πάντα] om. Ψ*   134 *δὲ ζώοντ' εἴων] Meineke, δὲ ζῶντ' εἴων οἷ (οἵ A) Φ, δὲ ζῶντ' εἴων (omisso οἷ) Ψ, δὲ ζῶντ' εἴων ἧ olim dubitans Alexandre proposuit*   135 *δὴ] ipse scripsi, τῇ Φ Ψ (om. L)*
Ῥείη] ῥέη Ψ   136 *τίχθ'] τίκτ' Φ   ἴδον] εἶδον Φ*   137 *αὐτοὺς] an scribendum αὑτοὺς?*   139 *λάθρῃ ἰδίῃ τε] Struve, λάθρῃ ἰδίῃ δὲ Ψ, λαθρηιδίην (λαθρηδίην A) δὲ Φ*
141 *τοὔνεκά τοι] cf. οὕνεκά τοι III 113, 128; τοι correxit Alexandre ex ll. cc., τούνεκά οἱ Φ Ψ, τοὔνεκα καὶ Meineke   ἐπωνομάσανθ'] A, ἐπωνόμασαν (ἐπωνόμασάν) θ' codd. cett.   ὅτι ἡ] Alexandre suspicatus est in Cur. post., ὅτι οἱ Φ Ψ*   142 *Ποσειδάωνα] ποσειδῶνα Ψ*   145 *Εὐρώπου] εὐρότου L, falsa Εὐρώτου Castalio in textum intrusit   εἰς ἅλα] εἰς ἄλλα P   μίρατο] Alexandre, cui postea μίρετο magis placuit, μοίρατο Φ, μοῖρα τὸ Ψ*   146 *ἄμμιγα] ἄμιγγα Ψ   στύγιον καλέουσιν] Castalio, στυγιαῖον (γυγιαῖον A, στυγαῖον R) καλοῦσιν Φ Ψ*   147 *Τιτῆνες] τιτᾶνες Φ*
148 *λάθριον] λαθρίους Ψ*   149 *τοι] om. Ψ   Τιτὰν] τιτᾶν P*   150 *καί ῥ' εἶχ' ἐν] Φ, καί ῥ' εἶχε Ψ, an scribendum καί ῥ' ἔσχ' ἐν? καὶ εἶρξ' ἐν Volkmann   τε Ῥέην τε] ῥείην τε Ψ*   151 *κρύψεν] κρύψε Ψ   ζωσμοῖς] ζωδεσμοῖς (i. e. ζωσμοῖς superscr. δε) R*   152 *ἄκουσαν] ἤκουσαν Ψ*

III καί οἱ ἐπήγειραν πόλεμον μέγαν ἠδὲ κυδοιμόν.
αὕτη δ' ἔστ' ἀρχὴ πολέμου πάντεσσι βροτοῖσιν.
[πρώτη γάρ τε βροτοῖς αὕτη πολέμοιο καταρχή.]
  καὶ τότε Τιτήνεσσι θεὸς κακὸν ἐγγυάλιξεν.
καὶ πᾶσαι γενεαὶ Τιτήνων ἠδὲ Κρόνοιο
κάτθανον. αὐτὰρ ἔπειτα χρόνου περιτελλομένοιο
Αἰγύπτιον βασιλήιον ἵστατο, εἶτα τὸ Περσῶν
Μήδων Αἰθιόπων τε καὶ Ἀσσυρίης Βαβυλῶνος,
εἶτα Μακηδονίων, πάλιν Αἰγύπτου, τότε Ῥώμης.
  καὶ τότε μοι μεγάλοιο θεοῦ φάτις ἐν στήθεσσιν
ἵστατο καί μ' ἐκέλευσε προφητεῦσαι κατὰ πᾶσαν
γαῖαν καὶ βασιλεῦσι τά τ' ἐσσόμεν' ἐν φρεσὶ θεῖναι.
καί μοι τοῦτο θεὸς πρῶτον νόῳ ἐγγυάλιξεν,
ὅσσαι γ' ἀνθρώπων βασιλήιδες ἠγερέθονται.
  οἶκος μὲν γὰρ πρώτιστος Σολομώνιος ἔρξει
Φοινίκης Συρίης τ' ἐπιβήτορας ἠδὲ καὶ ἄλλων
νήσων, Παμφύλων τε γένος Περσῶν τε Φρυγῶν τε,
Καρῶν καὶ Μυσῶν Λυδῶν τε γένος πολυχρύσων.
  αὐτὰρ ἔπειθ' Ἕλληνες ὑπερφίαλοι καὶ ἄναγνοι,
εἶτα Μακηδονίης ἔθνος μέγα ποικίλον ἄρξει,
οἳ φοβερὸν πολέμοιο νέφος ἥξουσι βροτοῖσιν.
ἀλλά μιν οὐράνιος θεὸς ἐκ βυθοῦ ἐξαλαπάξει.

153 sq.] cf. Hesiod. Theog. 629—631   156—158] cf. Hesiod. Theog. 729 sq.

154] Theophilus ad Autol. II 31 = p. 150 Otto: *αὕτη ἀρχὴ ἐγένετο πρώτη τοῦ γίνεσθαι πολέμους ἐπὶ τῆς γῆς*   159—161] Lactantius div. inst. VII 15, 13 = vol. I p. 633, 2—4 Brandt: nam et Aegyptios et Persas et Graecos et Assyrios proditum est regimen habuisse terrarum: quibus omnibus destructis ad Romanos quoque rerum summa pervenit

155] *uncis seclusi ex Alexandri Meinekiique sententia*   τε] *om.* Ψ   156] *cf. III 199* πρῶτον Τιτήνεσσι θεὸς κακὸν ἐγγυαλίξει   Τιτήνεσσι] τιτάνεσσι Φ Ψ   157 Τιτήνων] τιτάνων Φ Ψ   158 χρόνου περιτελλομένοιο] *cf. III 289* χρόνοις περιτελλομένοισιν   159—161] *cf. VIII 6—9*   159 βασιλήιον ἵστατο] *ipse scripsi ex VIII 6,* βασίλειον ἐγείρατο Φ Ψ   160 Ἀσσυρίης Βαβυλῶνος] *cf. III 809*   161 Μακηδονίων] μακεδόνων Ψ   162—164] = *III 297—299, cf. III 490 sq.* καὶ πάλι μοι μεγάλοιο θεοῦ φάτις ἐν στήθεσσιν ἵστατο καί μ' ἐκέλευσε προφητεῦσαι κατὰ γαῖαν   162 τότε] πάλι *III 297, 490*   163 ἵστατο] *correxi ex ll. cc.,* ἵπτατο (ἵππατο A) Φ Ψ   164] *om. P*   τά τ'] *sic etiam III 299 codd.,* τ' *non mutandum est, cf. Homeri exemplum A 70*   165] *cf. III 300* καί μοι τοῦτο θεὸς πρῶτον νόῳ ἔνθετο λέξαι, | ὅσσα γε κτλ.   νόῳ] *ex l. c. restituendum, quod placuit Opsopoeo,* μόνος Φ, *om.* Ψ   166 ὅσσαι γ'] *ipse dedi,* ὅσσαι Φ Ψ, ὁππόσαι *suspicatus est Alexandre*   167 οἶκος—πρώτιστος] πρώτιστος μὲν γάρ τ' οἶκος *Volkmann*   πρώτιστος] πρώτιστα Ψ   Σολομώνιος] σολομώνειος P Ψ   ἔρξει] *ipse temptavi,* εἴρξει *Opsopoeus,* ἄρξει (e 172) Φ Ψ   168 Φοινίκης Συρίης τ'] *ipse scripsi;* Φοινίκης τ' Ἀσίης Φ Ψ   170] *cf. V 287* καὶ γένος Ἰώνων Καρῶν Λυδῶν πολυχρύσων   171 ὑπερφίαλοι καὶ ἄναγνοι] = *III 203*   ἄναγνοι] ἄνεγνοι Φ   172 εἶτα] *Volkmann reposuit ex 161,* ἄλλο Φ Ψ, ἀλλὰ *Alexandre*   Μακηδονίης] μακεδονίης A, μακεδονίης *codd. cett.*   173 ἥξουσι] θήσουσι *dubitans Meineke (qui antea* ἄξουσι *voluerat),* ἄξουσι *Alexandre,* ῥήξουσι *anonymus Londin.*   174 μιν] μὴν L

III αὐτὰρ ἔπειτ' ἄλλης βασιληίδος ἔσσεται ἀρχὴ
λευκὴ καὶ πολύκρανος ἀφ' ἑσπερίοιο θαλάσσης,
ἣ πολλῆς γαίης ἄρξει, πολλοὺς δὲ σαλεύσει,
καὶ πᾶσιν βασιλεῦσι φόβον μετόπισθε ποιήσει,
πολλὸν δ' αὖ χρυσόν τε καὶ ἄργυρον ἐξαλαπάξει
πολλῶν ἐκ πόλεων· πάλι δ' ἔσσεται ἐν χθονὶ δίῃ
χρυσίον, αὐτὰρ ἔπειτα καὶ ἄργυρος ἠδέ τε κόσμος.
καὶ θλίψουσι βροτούς· μέγα δ' ἔσσεται ἀνδράσι κείνοις
πτῶμ', ὁπότ' ἂν ἄρξωνθ' ὑπερηφανίης ἀδίκοιο.
αὐτίκα δ' ἐν τούτοις ἀσεβείης ἔσσετ' ἀνάγκη,
ἄρσην δ' ἄρσενι πλησιάσει στήσουσί τε παῖδας
αἰσχροῖς ἐν τεγέεσσι καὶ ἔσσεται ἤμασι κείνοις
θλίψις ἐν ἀνθρώποις μεγάλη καὶ πάντα ταράξει,
πάντα δὲ συγκόψει καὶ πάντα κακῶν ἀναπλήσει
αἰσχροβίῳ φιλοχρημοσύνῃ, κακοκερδέι πλούτῳ,
ἐν πολλαῖς χώρῃσι, Μακηδονίῃ δὲ μάλιστα.
μῖσος δ' ἐξεγερεῖ καὶ πᾶς δόλος ἔσσεται αὐτοῖς
ἄχρι πρὸς ἑβδομάτην βασιληίδα, ἧς βασιλεύσει
Αἰγύπτου βασιλεύς, ὃς ἀφ' Ἑλλήνων γένος ἔσται.
  καὶ τότ' ἔθνος μεγάλοιο θεοῦ πάλι καρτερὸν ἔσται,
οἳ πάντεσσι βροτοῖσι βίου καθοδηγοὶ ἔσονται.
ἀλλὰ τί μοι καὶ τοῦτο θεὸς νόῳ ἔνθετο λέξαι,
τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὑστάτιον κακὸν ἔσται
πάντας ἐπ' ἀνθρώπους, τίς τούτων ἔσσεται ἀρχή;
  πρῶτον Τιτήνεσσι θεὸς κακὸν ἐγγυαλίξει.

176 πολύκρανος] πολιόκρανος *Opsopoeus suspicatus est (ex VIII 52)* ἀφ'—θαλάσσης] = *XII 14* ἑσπερίοιο] *ex l. c. emendavi, cui lectioni etiam anonymus Parisin. faverat,* ἑσπερίου (ἑσπέρου *A*) τε Φ, ἑσπερίου Ψ 178 πᾶσιν] πᾶσι *A* Ψ μετόπισθε ποιήσει] μετόπισθεν ποιήσει *P*, μετόπισθεν ποίσει Ψ, μετόπισθεν ἐποίσει *suspicatus est Alexandre* 179] = *I 388* 180 πολλῶν ἐκ πόλεων] *ipse transposui, cf. Hom. I 544,* ἐκ πόλεων πολλῶν Φ Ψ πάλι] πάλιν *A* Ψ ἐν χθονὶ δίῃ] = *I 184 III 83, 402 XII 28* δίῃ] *ipse dedi,* δίᾳ Φ, *om.* Ψ 182 *sq.*] = *I 391 sq.* μέγα] *emendavi ex I 391,* μετὰ Φ Ψ 183 πτῶμ', ὁπότ' ἂν ἄρξωνθ'] *ipse scripsi, cf. l. c.,* πτῶμαθ' (πτῶμα θ' *F*), ὅταν ἄρξωνθ' (ἄρξωντ' *PA*) Φ Ψ, πτῶμ' ὁπόταν ἄρξωνται *codd. I 392 (ubi cf.),* πτῶμαθ', ὅταν γ' ἄρξωνθ' *anonymus Londin.* 184] *cf. III 101* ἀσεβείης] ἀσεβείας *codd.* 185 ἄρσην δ'] ἄρσην (*om.* δ') Ψ, ἄρσις δ' Φ, ἄρσης δ' *Betuleius* τε] δὲ Ψ 186 τεγέεσσι] τέγεσι Ψ ἔσσεται] ἔσται Φ Ψ 187 καὶ πάντα ταράξει] = *V 30 XII 82* 188] = *III 613* 189 φιλοχρημοσύνῃ] φιλοχρημοσύνης Ψ κακοκερδέι] *Castalio,* κακοκερδεῖ Φ, κάκερδεῖ Ψ 190 ἐν—χώρῃσι] *an* χώρῃσιν πολλῇσι? Μακηδονίῃ] *Alexandre,* μακεδονίῃ Φ Ψ 191 ἐξεγερεῖ] ἐξεγερεῖται Ψ καὶ—αὐτοῖς] *cf. XII 268* καὶ πᾶς δόλος ἔσσεται αὐτῷ *XI 258* δόλος δέ τοι ἔσσεται αὐτῇ αὐτοῖς] αὐτῆς Ψ 192 *sq.*] *cf. III 608 sq.* ὁππότ' ἂν Αἰγύπτου βασιλεὺς νέος ἕβδομον ἄρχῃ | τῆς ἰδίης γαίης, ἀριθμούμενος ἐξ Ἑλλήνων | ἀρχῆς ἄχρι] ἄχρις Ψ 193 ὃς—ἔσται] = *XIV 138* γένος] γένους Ψ ἔσται] ἕξει *olim suspicatus est Alexandre* 194 πάλι] *Opsopoeus,* πάλιν Ψ, *om.* Φ 195 οἳ] Φ Ψ; *an* καὶ *scribendum?* καθοδηγοὶ ἔσονται] = *I 385* 196 ἔνθετο] ἔθετο Ψ 198] *om. P* τίς—ἀρχή] *restituit Alexandre,* τίς δ' ἀρχὴ τούτων ἔσται Φ, τίς δ' ἀρχή (*omissis ceteris*) Ψ, τίς δ' ἀρχὴ ἔσσεται αὐτῶν *Opsopoeus* 199] *cf. III 156* καὶ τότε Τιτήνεσσι θεὸς κακὸν ἐγγυάλιξεν Τιτήνεσσι] τιτάνεσσι Φ Ψ

III υἱοῖς γὰρ κρατεροῖο δίκας τίσουσι Κρόνοιο,
οὕνεκά τοι δῆσάν τε Κρόνον καὶ μητέρα κεδνήν.
δεύτερον αὖθ' Ἕλλησι τυραννίδες ἠδ' ἀγέρωχοι
ἔσσονται βασιλῆες ὑπερφίαλοι καὶ ἄναγνοι,
κλεψίγαμοι καὶ πάντα κακοί· κεῖτ' οὐκ ἔτι θνητοῖς
ἄμπαυσις πολέμοιο. Φρύγες δ' ἔκπαγλοι ὀλοῦνται
πάντες καὶ Τροίῃ κακὸν ἔσσεται ἤματι κείνῳ.
αὐτίκα δὴ Πέρσῃσι καὶ Ἀσσυρίοις κακὸν ἥξει
πάσῃ τ' Αἰγύπτῳ Λιβύῃ τ' ἠδ' Αἰθιόπεσσιν
Καρσί τε Παμφύλοις τε, κακὸν μετακινηθῆναι,
καὶ πάντεσσι βροτοῖσι. τί δὴ καθ' ἓν ἐξαγορεύω;
ἀλλ' ὁπότ' ἂν τὰ πρῶτα τέλος λάβῃ, αὐτίκα δ' ἔσται
δεύτερ' ἐπ' ἀνθρώπους. καί τοι πρώτιστα βοήσω.
  ἀνδράσιν εὐσεβέεσσ' ἥξει κακόν, οἳ περὶ ναὸν
οἰκείουσι μέγαν Σολομώνιον οἵ τε δικαίων
ἀνδρῶν ἔκγονοί εἰσιν. ὅμως καὶ τῶνδε βοήσω
φῦλον καὶ γενεὴν πατέρων καὶ δῆμον ἁπάντων
πάντα περιφραδέως, βροτὲ ποικιλόμητι δολόφρον.
  ἔστι πόλις . . . . κατὰ χθονὸς Οὖρ Χαλδαίων,

218] Genes. 11, 31

218] Eupolemus ap. Euseb. praep. evang. IX 17 = vol. I p. 485, 4—6 Dind. *ex Alexandri Polyhistoris fide* = Fragm. histor. Graec. ed. Müller III 212, Alexandri fr. 3: *δεκάτῃ δὲ γενεᾷ, φησίν, ἐν πόλει τῆς Βαβυλωνίας Καμαρίνῃ, ἥν τινας λέγειν πόλιν Οὐρίην· (εἶναι δὲ μεθερμηνευομένην Χαλδαίων πόλιν)*

200 *υἱοῖς] Badt, υἱοὶ Φ Ψ δίκας τίσουσι Κρόνοιο] cum Badtio scripsi (cf. Hom. γ 325 ὤλεθ' ὑπ' Αἰγίσθοιο δόλῳ καὶ ἧς ἀλόχοιο α 397 αὐτὰρ ἐγὼ οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο), κρόνου τίσουσι δίκας Φ Ψ, Κρόνου τίσουσι δίκας γε Opsopoeus, Κρόνου τίσουσι δίκαια Meineke dubitans, Κρόνου τίσουσι θέμιστας suspicatus est Alexandre 200 sq.] mutili in L 202 δεύτερον] δεύτερον δ' Ψ τυραννίδες] τυραννίδος Ψ 203 ὑπερφίαλοι καὶ ἄναγνοι] = III 171 204 κεῖτ'] ipse scripsi, καὶ Φ Ψ 205 ἄμπαυσις πολέμοιο] cf. XII 127 XIII 27 ἄμπαυσις πολέμου Φρύγες—ὀλοῦνται] cf. XIII 32, 108 Σύροι δ' ἔκπαγλ' ἀπολοῦνται ἔκπαγλοι] ἔκπαυλοι P 206 κακὸν ἔσσεται] = III 265 ἔσσεται] ἔσται P Ψ 207] om. Ψ 208—210] cf. XI 53—55 208 δὴ] dedi ex XI 53, καὶ Φ Ψ ἥξει] ἔσται XI 53 πάσῃ] πᾶσι Ψ Λιβύῃ τ'] τ' addendum ex XI 54, om. Φ Ψ 209 Παμφύλοις] Ψ, παμφυλίοις Φ κακὸν] κακῶς Alexandre 210 καὶ—βροτοῖσι] cf. XI 55 ἠδ' ἄλλοις πᾶσι βροτοῖσι τί—ἐξαγορεύω] = Fragm. I 34 cf. III 517 τί δὴ κατὰ μοῖραν ἕκαστον ἐξαυδῶ; 212 καὶ—βοήσω] cf. XI 32, 108 τότε σοι πάλι ταῦτα βοήσω VII 111 τότε σοι τοιαῦτα βοήσω XI 119 αὐτὰρ πάλι ταῦτα βοήσω 213 εὐσεβέεσσ'] Castalio, εὐσεβέσ' Φ (excepto A), εὐσεβέσιν A Ψ, εὐσεβέσιν θ' Volkmann ναὸν] νηὸν F, καὸν L, κακὸν R 214 οἰκείουσι μέγαν Σολομώνιον] Alexandre (coll. ἐπαρχείων 243), οἰκοῦσιν (οἰκοῦσι Ψ) μέγαν εἰς (ἐς Ψ) σολομώνιον (σολομώνειον P F) Φ Ψ; fortasse οἶκον ἔχουσι μέγαν Σολομώνιον 215 ἔκγονοι] ἔγγονοι Φ 216 φῦλον] φύλων L 217 βροτὲ—δολόφρον] cf. III 624 βροτὲ ποικιλόμητι (κακόφρον codd. Sib., βράδυνε Clemens) I 6 ποικίλε θνητέ δολόφρον] δολόφρων superscripto o A, δολόφρων F 218] mutilus in codd.: sic olim eum conformare voluit Opsopoeus: ἔστιν ἀνὴρ πόλεως αὐτόχθων Οὖρ Χαλδαίων, | ἐξ οὗ δὴ γένος ἐστὶ ἔστι] ἔσται P B πόλις] lacuna subest post hanc vocem in Φ (P adnotatum habet in margine 'λείπει'), τε Ψ, Καμάρινα supplebat Alexandre coll. Eupolemo apud Euseb. praep.*

III ἐξ ἧς δὴ γένος ἐστὶ δικαιοτάτων ἀνθρώπων,
οἷσιν ἀεὶ βουλή τ' ἀγαθὴ καλά τ' ἔργα μέμηλεν.
οὔτε γὰρ ἠελίου κύκλου δρόμον οὔτε σελήνης
οὔτε πελώρια ἔργα μεριμνῶσιν κατὰ γαίης
οὔτε βάθος χαροποῖο θαλάσσης Ὠκεανοῖο,
οὐ πταρμῶν σημεῖ', οὐκ οἰωνῶν πετεηνῶν,
οὐ μάντεις, οὐ φαρμακέας, οὐ μὴν ἐπαοιδούς,
οὐ μύθων μωρῶν ἀπάτας ἐγγαστεριμύθων,
οὐδέ τε Χαλδαίων γε προμαντεῖ' ἀστρολογοῦσιν
οὐδὲ μὲν ἀστρονομοῦσι· τὰ γὰρ πλάνα πάντα πέφυκεν,
ὅσσα κεν ἄφρονες ἄνδρες ἐρευνῶσιν κατὰ ἦμαρ
ψυχὰς γυμνάζοντες ἐς οὐδὲν χρήσιμον ἔργον·
καί ῥα πλάνας ἐδίδαξαν ἀεικελίους ἀνθρώπους,
ἐξ οὗ δὴ κακὰ πολλὰ βροτοῖς πέλεται κατὰ γαῖαν
τοῦ πεπλανῆσθαι ὁδούς τ' ἀγαθὰς καὶ ἔργα δίκαια.
οἳ δὲ μεριμνώωσι δικαιοσύνην τ' ἀρετήν τε,
κοὐ φιλοχρημοσύνην, ἥ τις κακὰ μυρία τίκτει
θνητοῖς ἀνθρώποις, πόλεμον καὶ λιμὸν ἄπειρον.

220 sqq.] Deuteron. 18, 10 sq.

228 sq.] Lactantius div. inst. II 16, 1 = vol. I p. 167, 1—7 Brandt: eorum inventa sunt astrologia et haruspicina et auguratio et ipsa quae dicuntur oracula et necromantia et ars magica et quidquid praeterea malorum exercent homines vel palam vel occulte: quae omnia per se falsa sunt, ut Sibylla Erythraea testatur: 228 'ἐπεὶ πλάνα' — 229 'ἦμαρ'

evang. IX 17 (vol. I 485 Dind.) Οὖρ Χαλδαίων] *Opsopoeus coniecit in margine exemplaris sui, postque eum Gfroerer,* οὐχάλδοιο Φ, εὐρυάγυια Ψ, Οὐρχαλδαίου *Ewald* 219 ἐξ ἧς δὴ] *Friedlieb,* ἐξ ἧς μοι Ψ, ἐξ ὧν δὴ Φ δικαιοτάτων ἀνθρώπων] *cf. I 280* δικαιότατος ἀνθρώπων 221 ἠελίου κύκλου] Ψ, ἠελίου κύκλιον *P,* ἠελίου κύκλον *A B,* ἡλιακοῦ κύκλου *Volkmann* 222 μεριμνῶσιν] μεριμνῶσι Φ Ψ 223 χαροποῖο θαλάσσης] *correxit Castalio,* χαροποιοῦ θαλάσσης *codd. praeter P, qui corrupte habet* χαροποιοῦσθαι ἄσσηρ 224 πταρμῶν σημεῖ'] παλμῶν σημεῖα Ψ οὐκ] Ψ, *om.* Φ οἰωνῶν] *ipse scripsi,* οἰωνοπόλων Φ Ψ πετεηνῶν] *ipse dedi,* πτηνῶν Ψ, τε *(om. B)* πετεινά Φ 225 φαρμακέας] *Dausqueius, cf. II 283,* φαρμακοὺς Φ Ψ 226 ἐγγαστεριμύθων] *ipse dedi,* ἐγγαστριμύθων Φ Ψ, ἐγγαστερομύθων *proposuit Alexandre* 227 οὐδέ τε] *ipse scripsi,* οὐδὲ τὰ Φ Ψ γε] *Alexandre dubitans (Cur. post.),* τὰ Φ, *om.* Ψ προμαντεῖ'] *Struve,* προμάντεια Ψ, προμάντια Φ 228 τὰ—πέφυκεν] ἐπεὶ πλάνα πάντα τάδ' ἐστίν *Lactantius* τὰ γὰρ] καὶ γὰρ Ψ 229 ὅσσα κεν] ὅσσα περ *Lactantius* ἐρευνῶσιν] Φ *Lactantius,* ἐρευνῶσι *L R,* ἐνεργοῦσι *F in textu,* γρ. ἐρευνῶσι *in margine* ἐρευνῶσιν κατὰ ἦμαρ] *an* ἐρευνώωσι κατ' ἦμαρ? *(ΕΡΕΥΝΩΟCΙ Lactanti cod. R, qui ΚΤΝΜΑΡ habet, ΚΑΤΕΜΑΡ etiam B[3])* 231 πλάνας] *Alexandre coniecit,* πλάνοις *P A,* πλάνης *B r,* πλάνην Ψ 232 ἐξ οὗ] ἐξ ὧν Ψ 234 μεριμνώωσι] *ipse temptavi, cf. homericum* μενοινώωσι *et Sibyllina* τεχνώοιντο *I 97* μηχανάαται *V 126;* μεριμνῶσι Ψ, μεριμνῶσιν τε Φ; *an scribendum* οἳ δὲ δικαιοσύνην τε μεριμνῶσιν ἀρετήν τε? 235 sq.] *om.* Ψ 235 sq.] *cf. II 111* ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης *VIII 17* ἀρχὴ πᾶσι κακῶν φιλοχρημοσύνη καὶ ἄνοια *III 641 sq.* ἔσται | ἡ φιλοχρημοσύνη κακὰ ποιμαίνουσα πόλεσσιν φιλοχρημοσύνην] *post* ἀρετήν τε *commate interpungens scripsi,* φιλοχρημοσύνη Φ ἥ τις] *Meineke,* τίς γ' ἥ Φ, *an* ἥ περ? *an* ἥ δὴ *ex Theogn. 389 B[1]?* τοῖς γ' ἥ *Alexandre (retento nominativo φιλοχρημοσύνη)*

III τοῖσι δὲ μέτρα δίκαια πέλει κατ' ἀγροὺς τε πόλεις τε
οὐδὲ κατ' ἀλλήλων νυκτοκλοπίας τελέουσιν
οὐδ' ἀγέλας ἐλάουσι βοῶν ὀίων τε καὶ αἰγῶν
οὐδέ θ' ὅρους γαίης γείτων τοῦ γείτονος αἴρει
οὐδὲ πολύπλουτός τις ἀνὴρ τὸν ἐλάσσονα λυπεῖ,
οὐ χήρας θλίβει, μᾶλλον δ' αὐτῇσι βοηθεῖ
αἰεὶ ἐπαρκείων σίτῳ οἴνῳ καὶ ἐλαίῳ·
αἰεὶ δ' ὄλβιος ἐν δήμῳ τοῖς μηδὲν ἔχουσιν,
ἀλλὰ πενιχρομένοισι, θέρους ἀπὸ μοῖραν ἰάλλει
πληρῶν τὴν μεγάλοιο θεοῦ φάτιν, ἔννομον ὕμνον·
πᾶσι γὰρ οὐράνιος κοινὴν ἐτελέσσατο γαῖαν.
 ἡνίκα δ' Αἴγυπτον λείψει καὶ ἀταρπὸν ὁδεύσει
λαὸς ὁ δωδεκάφυλος ἐφ' ἡγεμόσιν θεοπέμπτοις
III Ἑλλὰς δή, τί πέποιθας ἐπ' ἀνδράσιν ἡγεμόνεσσιν
θνητοῖς, οἷς οὐκ ἔστι φυγεῖν θανάτοιο τελευτήν;
πρὸς τί τε δῶρα μάταια καταφθιμένοισι πορίζεις
θύεις τ' εἰδώλοις; τίς τοι πλάνον ἐν φρεσὶ θῆκεν
ταῦτα τελεῖν προλιπεῖν τε θεοῦ μεγάλοιο πρόσωπον;
οὔνομα παγγενέταο σέβας ἔχε, μηδὲ λάθῃ σε.
χίλια δ' ἔστ' ἔτεα καὶ πένθ' ἑκατοντάδες ἄλλαι,
ἐξ οὗ δὴ βασίλευσαν ὑπερφίαλοι βασιλῆες
Ἑλλήνων, οἳ πρῶτα βροτοῖς κακὰ ἡγεμόνευσαν
πολλὰ θεῶν εἴδωλα καταφθιμένων ἀναθέντες,
ὧν ἕνεκεν τὰ μάταια φρονεῖν ὑμῖν ὑπεδείχθη.
ἀλλ' ὁπότ' ἂν μεγάλοιο θεοῦ χόλος ἔσσεται ὑμῖν,
δὴ τότ' ἐπιγνώσεσθε θεοῦ μεγάλοιο πρόσωπον.
πᾶσαι δ' ἀνθρώπων ψυχαὶ μεγάλα στενάχουσαι
ἄντα πρὸς οὐρανὸν εὐρὺν ἀνασχόμεναι χέρας αὐτῶν
ἄρξονται βασιλῆα μέγαν ἐπαμύντορα κλῄζειν
καὶ ζητεῖν ῥυστῆρα χόλου μεγάλοιο, τίς ἔσται.
  ἀλλ' ἄγε καὶ μάθε τοῦτο καὶ ἐν φρεσὶ κάτθεο σῇσιν,
ὅσσα περιπλομένων ἐνιαυτῶν κήδε' ἐπέσται.

545. 547—549] Lactantius div. inst. I 15, 15 = vol. I p. 57, 18 — p. 58, 2 Brandt: ob hanc vanitatem Sibylla sic eos *(Graecos)* increpat: 545 '‘Ἑλλὰς'— 'ἡγεμόνεσσιν' 547 'πρὸς τί'— 549 'πρόσωπον;'

545 δή] δὲ *P (in marg. Betulei manu additum rubro δὴ), δὲ etiam cod. Lactanti S, om. Ψ. τὴ Meineke* 546] *om. Lactantius* θανάτοιο τελευτήν] = *XI 157* 547] *cf. Fragm. I 22* δαίμοσι γὰρ θυσίας ἐποιήσατε τοῖσιν ἐν Ἅιδῃ τε] *om. B, δὲ suspicatus est Alexandre* 548] *cf. Fragm. I 25* τί πλανᾶσθε βροτοί τίς] τί *P (in marg. Betulei manu addita Lactantii scriptura secundum edit. Aldinam) B* τοι] σοι *Lactantius* πλάνον ἐν φρεσὶ] πλάνων ἐνὶ φρεσὶ Ψ 549] *cf. VIII 263* ὥς τε θεὸν προλιπόντα λατρεύειν ἤθεσι θνητοῖς *VIII 381* τὸν κτιστὴν προλιπόντες ἀσελγείαις ἐλάτρευσαν *Fragm. I 20* θεὸν προλιπόντες ἀληθινὸν ἀέναόν τε προλιπεῖν τε] *ipse conieci, idemque Brandt invenit,* προλιπόντα *Lactanti codd. (ΠΡΟΛΕΙΠΟΝΤΑ P, ΠΡΟΛΕΙΝΟΝΤΑ S),* προλιποῦσα Φ, προλιποῦσι Ψ, προλιπόντι *Opsopoeus, cf. VIII 263* θεοῦ—πρόσωπον] = *III 557* 550] *cf. Fragm. I 15* αὐτὸν τὸν μόνον ὄντα σέβεσθ' ἡγήτορα κόσμου παγγενέταο] *Alexandre,* παγγενέτασ τε Φ, παγγενέτας Ψ σέβας ἔχε] *Alexandre,* σέβας δ' ἔχε Φ Ψ, *an* σεβάσσαο? 551 χίλια δ' ἔστ' ἔτεα] χίλιά δ' ἔτεα *A,* χίλια δ' ἔστ' ἔτη Ψ, χίλια δ' ἔστιν ἔτη *Volkmann; sed cf. Hesiod. Oper. 130* ἑκατὸν μὲν παῖς ἔτεα 552 δὴ βασίλευσαν] δὴ ἐβασίλευσαν Ψ 553 βροτοῖς κακὰ ἡγεμόνευσαν] βροτοῖσι κάχ' ἡγεμόνευσαν *maluit Meineke* 554 θεῶν εἴδωλα καταφθιμένων] *cf. III 723* εἰδώλων ξοάνων τε καταφθιμένων ἀνθρώπων *III 588* θεῶν εἴδωλα καμόντων *Fragm. I 22* δαίμοσι . . . τοῖσιν ἐν Ἅιδῃ καταφθιμένων] *Volkmann,* καταφθιμένοις Φ Ψ ἀναθέντες] *Alexandre,* θανεόντων Φ Ψ 555] *cf. Fragm. III 30* ταῦτα σέβεσθε | ἄλλα τε πολλὰ μάταια, ἃ δή κ' αἰσχρὸν ἀγορεύειν ἕνεκεν] ἕνεκα Ψ ὑπεδείχθη] ἀπεδείχθη *P* 556] *cf. I 165* καὶ χόλος οὐρανόθεν μεγάλου θεοῦ ἥξει ἐφ' ὑμᾶς 557 θεοῦ—πρόσωπον] = *III 549* μεγάλοιο] μεγάλοι *P* 558 πᾶσαι—ψυχαὶ] = *II 203 III 678 VIII 350* 559 ἀνασχόμεναι] *Volkmann,* ἀνασχόμενοι Φ Ψ χέρας] χεῖρας Ψ 560 μέγαν] μέγαν τ' *Volkmann* ἐπαμύντορα] ἐπαμήντο *P* 562 ἀλλ' ἄγε] ἀλλά γε *F* 563 περιπλομένων ἐνιαυτῶν] = *IV 73* κήδε' ἐπέσται] *ipse temptavi,* κήδεα ἔσται Φ Ψ, *an* κήδε' ἐσεῖται?

III ὅσσον θ' Ἑλλὰς ἔρεξε βοῶν ταύρων τ' ἐριμύκων
πρὸς ναὸν μεγάλοιο θεοῦ ὁλοκαρπώσασα,
ἐκφεύξῃ πολέμοιο δυσηχέος ἠδὲ φόβοιο
καὶ λοιμοῦ καὶ δοῦλον ὑπεκφεύξῃ ζυγὸν αὖτις.
ἀλλὰ μέχρις τούτου γ' ἀσεβῶν γένος ἔσσεται ἀνδρῶν,
ὁππότε δὴ καὶ τοῦτο λάβῃ τέλος αἴσιμον ἦμαρ.
οὐ γὰρ μὴ θύσητε θεῷ, μέχρι πάντα γένηται,
ὅσσα θεός γε μόνος βουλεύσεται οὐκ ἀτέλεστα
πάντα τελεσθῆναι· κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη.
εὐσεβέων δ' ἀνδρῶν ἱερὸν γένος ἔσσεται αὖτις,
βουλαῖς ἠδὲ νόῳ προσκείμενοι ὑψίστοιο,
οἳ ναὸν μεγάλοιο θεοῦ περικυδανέουσιν
λοιβῇ τε κνίσσῃ τ' ἠδ' αὖθ' ἱεραῖς ἑκατόμβαις
ταύρων ζατρεφέων θυσίαις κριῶν τε τελείων
πρωτοτόκων οἴων τε καὶ ἀρνῶν πίονα μῆλα
βωμῷ ἐπὶ μεγάλῳ ἁγίως ὁλοκαρπεύοντες.
ἐν δὲ δικαιοσύνῃ νόμον ὑψίστοιο λαχόντες
ὄλβιοι οἰκήσουσι πόλεις καὶ πίονας ἀγρούς.
αὐτοῖς δ' ὑψωθέντες ὑπ' ἀθανάτοιο προφῆται
ἔσσονται μέγα χάρμα βροτοῖς πάντεσσι φέροντες.
μούνοις γάρ σφιν δῶκε θεὸς μέγας εὔφρονα βουλὴν
καὶ πίστιν καὶ ἄριστον ἐνὶ στήθεσσι νόημα·
οἵ τινες οὐκ ἀπάτῃσι κεναῖς οὐδ' ἔργ' ἀνθρώπων

586—588. 590—594] Clemens Alex. Protrept. VI 70 = vol. I p. 76, 1 Dindorf: *γεωμετρίαν παρ' Αἰγυπτίων μανθάνεις, ἀστρονομίαν παρὰ Βαβυλωνίων. ἐπῳδὰς τὰς*

564 ὅσσον θ' Ἑλλὰς ἔρεξε] *ipse scripsi*, καὶ τοὺς Ἑλλὰς ἔρεξε Φ, τοὺς Ἑλλάς τ' ἔρεξε Ψ   βοῶν—ἐριμύκων] *cf. III 523* βοῶν τ' ἀγέλας ἐριμύκων   565] *iterum legitur post 573 in Ψ*   ναὸν] νηὸν *altero loco (post 573) Ψ*   ὁλοκαρπώσασα] *an* ὁλοκαρπεύσασα? *cf. III 579*   566 ἐκφεύξῃ] ἐκφεύξει *Alexandre*   567 δοῦλον ... ζυγὸν] *cf. VIII 326 sq.* ζυγὸν ... δοῦλον   ὑπεκφεύξῃ] ὑπεμφεύξῃ *P*, ὑπεκφεύξει *Alexandre*   αὖτις] *A*, αὖθις *cett. codd.*   568 μέχρις τούτου γ'] *ipse dedi*, μέχρις γε σε τοῦδ' Φ, μέχρι γέ σε τόδ' Ψ, μέχρις γε τοσοῦδ' *Alexandre*   569] = *III 741*   δὴ καὶ τοῦτο λάβῃ] *restitui ex l. c.*, κεν τοῦτο προλάβῃ Φ Ψ   αἴσιμον] αἴσιον Ψ   570 μέχρι—γένηται] *cf. III 92* ὅτ' ἂν τάδε πάντα γένηται   571] *cf. III 699* τόδε δ' ἔσσεται οὐκ ἀτέλεστον | οὐδ' ἀτελεύτητον   ὅσσα—ἀτέλεστα] *scripsi*, ὅσσα μόνος βουλεύσεται οὐκ ἀτέλευτα (ἀτέλεστα *superscripto* ευτ, *i. e.* ἀτέλευτα *A*) θεός γε Φ, ὅσσα μόνος βουλεύεται θεὸς οὐκ ἀτέλεστα Ψ, ὅσσα θεός γε μόνος βουλεύσεται οὐκ ἀτέλευτα *Volkmann*, ὅσσα μόνος γε θεὸς βουλεύεται οὐκ ἀτέλευτα (*vel* ἀτέλεστα, *quod iam Huetius maluit*) *Alexandre*   572] *cf. XIV 357* ταῦτα τελεσθῆναι κρατερὴ ἐπικείσετ' ἀνάγκη   573 δ'] *addidit Volkmann, om.* Φ Ψ   573] *post hunc v. 565 iterum scriptum habet* Ψ. *cf. ad l. c.*   574 βουλαῖς ἠδὲ] *anonym. Parisin. et Struve*, βουλαῖσιν (βουλαῖσι *P B*) δὲ Φ Ψ   νόῳ] *anonymus Parisin.*, νῶ οἱ *P*, νῷ οἱ *A B*, νόοι Ψ, νόμῳ *Castalio*   προσκείμενοι] προσκείμενον *Struve*   576 τε] *om.* Ψ   578 οἴων] *Castalio (sed* οἰῶν*)*, οἰῶν Ψ, υἱῶν Φ (υ *in ras. A*)   580 νόμον] νόμον Ψ   581 πόλεις] Φ, πόλις Ψ, *an* πόλιας *ex Hom.* θ *560?*   582 αὐτοῖς] *suspicatus est Alexandre*, αὐτοὶ Φ Ψ   ὑπ' ἀθανάτοιο προφῆται] *cf. III 781* θεοῦ μεγάλοιο προφῆται   583 ἔσσονται] *substituit Alexandre*, καὶ Φ Ψ; *P in marg. additum habet* λείπει; ζήσονται *Friedlieb*   584 δῶκε] δῶ Ψ   585] *cf. III 262 interpolatum:* καὶ πᾶσιν καὶ ἄριστον ἐνὶ στήθεσσι νόημα   586 οὐδ' ἔργ'] οὐδὲ ἔργα *Clemens*

III χρύσεα καὶ χάλκεια καὶ ἀργύρε' ἠδ' ἐλέφαντος
καὶ ξυλίνων λιθίνων τε θεῶν εἴδωλα καμόντων
[πήλινα μιλτόχριστα, ζωογραφίας τυποειδεῖς,]
τιμῶσιν, ὅσα πέρ τε βροτοὶ κενεόφρονι βουλῇ·
ἀλλὰ μὲν ἀείρουσι πρὸς οὐρανὸν ὠλένας ἁγνάς
ὄρθριοι ἐξ εὐνῆς αἰεὶ χέρας ἁγνίζοντες
ὕδατι καὶ τιμῶσι μόνον τὸν ἀεὶ μεδέοντα
ἀθάνατον καὶ ἔπειτα γονεῖς· μετὰ δ' ἔξοχα πάντων
ἀνθρώπων ὁσίης εὐνῆς μεμνημένοι εἰσίν·
κοὐδὲ πρὸς ἀρσενικοὺς παῖδας μίγνυνται ἀνάγνως,
ὅσσα τε Φοίνικες Αἰγύπτιοι ἠδὲ Λατῖνοι
Ἑλλάς τ' εὐρύχορος καὶ ἄλλων ἔθνεα πολλὰ
Περσῶν καὶ Γαλατῶν πάσης τ' Ἀσίης παραβάντες
ἀθανάτοιο θεοῦ ἁγνὸν νόμον, ὅν περ ἔδωκεν.
ἀνθ' ὧν ἀθάνατος θήσει πάντεσσι βροτοῖσιν
ἄτην καὶ λιμὸν καὶ πήματά τε στοναχάς τε

ὑγιεῖς παρὰ Θρᾳκῶν λαμβάνεις, πολλά τε καὶ Ἀσσύριοι πεπαιδεύκασι, νόμους δὲ τοὺς ὅσοι ἀληθεῖς καὶ δόξαν τὴν θεοῦ παρ' αὐτῶν ὠφέλησαι τῶν Ἑβραίων 586 *'οἵ τινες'* — 588 *'καμόντων'*, 590 *'τιμῶσιν'* — 594 *'ἀθάνατον' (reliqua huius versus neglexit Clemens)* 599] *huc (vel ad III 509) respexit fortasse* Lactantius 'tertio ad Probum volumine' (Hieronym. comm. in epist. ad Galatas II) vol. II p. 287 Fritzsche: Galli, inquit *(Lactantius)*, antiquitus a candore corporis Galatae nuncupabantur. et Sibylla sic eos appellat

587 *καὶ χάλκεια] χάλκεια omisso καὶ P, καὶ χάλκεα Clemens ἀργύρε'] Φ (sed ἀργυρέ' A), ἀργύρεα Ψ, ἀργύρου Clemens ἐλέφαντος] Clemens, ἐλέφαντα (ἐλέφαντας deleto σ P addito in margine Betulei manu εἴδωλα) Φ Ψ* 588] *cf. Fragm. III 29 καὶ λίθινα ξόανα καὶ ἀγάλματα χειροποίητα III 722 sq. ἔργα τε χειροποίητα γεραίρομεν ἄφρονι θυμῷ | εἰδώλων ξοάνων τε καταφθιμένων ἀνθρώπων θεῶν—καμόντων] cf. III 554 θεῶν εἴδωλα καταφθιμένων θεῶν] βροτῶν Clemens, sed cf. l. c. καμόντων] θανόντων Clemens* 589] *om. Clemens; versus suspectus μιλτόχριστα, ζωογραφίας] A, de correptione ω vocalis cf. II 209 οὐ ζῷα νηκτά; μιλτόχριστα (ἔτι καὶ addit Ψ) ζωγραφίας codd. cett., μιλτόχριστ' ἢ Volkmann τυποειδεῖς] vix sanum, ῥυποέσσας suspicatus est Volkmann* 590 *τιμῶσιν] Clemens, τιμῶντες codd. Sibyll. ὅσα πέρ τε] Clemens, ὅσα κέν τε Φ, ὅσα κεν Ψ* 591 *μὲν] μιν Φ, γὰρ Clemens ἀείρουσι] de α producta cf. IV 165 ἐπαείραντες; vix ἐξαίρουσι ὠλένας ἁγνάς] = VIII 251, de correpta syllaba ας cf. Hesiod. Theog. 534 βουλὰς ὑπερμενέϊ Κρονίωνι 804 κούρας ῥαιόφρονας Empedocl. 374 Stein μυρίας ὥρας al. et quae dixi Dial. d. Hesiod. p. 401, ὠλένας (ab ὠλήν derivatum) ἁγνούς olim maluit Alexandre* 592 *αἰεὶ χέρας] ἀεὶ χεῖρας Ψ, ἀεὶ χρόα Clemens, cui scripturae patrocinatus est etiam Gfroerer* 593 *ὕδατι] ὕδασι Clemens καὶ τιμῶσι—γονεῖς] cf. II 60 πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας μόνον—μεδέοντα] Clemens, θεὸν τὸν ἀεὶ μέγαν ὄντα codd. Sibyll.* 594 *καί—πάντων] μετὰ δ' ἔπειτα (δέπειτα F) γονεῖς ἔξοχα πάντων F L in textu; γρ. καὶ ἔπειτα γονεῖς μετὰ δ' ἔξοχα πάντων F marg., et sic R in textu καὶ ἔπειτα] καὶ om. A* 595 *ἀνθρώπων] ἀνθρώπῳ P* 596] *cf. III 185 ἄρσην δ' ἄρσενι πλησιάσει πρὸς] πρὸς τοὺς Ψ ἀρσενικοὺς] ἄρσενας A μίγνυνται] ἀναμίγνυνται Φ ἀνάγνως] ἀνέγνως P B* 597 *Αἰγύπτιοι] κἀγύπτιοι Badt* 598 *εὐρύχορος] Opsopoeus, εὐρύχωρος Ψ, ευχωρος Φ* 599 *πάσης τ'] Alexandre, πάσης δ' Φ Ψ* 600 *ἀθανάτοιο—νόμον] = III 276 ὅν περ ἔδωκεν] scribendum censeo, coll. III 257 νόμον οὐρανόθεν πρὸ | δῶκε θεός; ὃν παρέβησαν (ex versus superioris clausula) Φ Ψ, ὃν παρέλυσαν Alexandre, ὅν περ ἔλυσαν Meineke* 601 *ἀθάνατος] ἀθάνατος θεὸς Φ* 602 *λιμὸν] λοιμὸν F καὶ πήματα] πήματα Ψ*

III καὶ πόλεμον καὶ λοιμὸν ἰδ' ἄλγεα δακρυόεντα·
οὕνεκεν ἀθάνατον γενέτην πάντων ἀνθρώπων
οὐκ ἔθελον τιμᾶν ὁσίως, εἴδωλα δ' ἐτίμων
χειροποίητα σέβοντες, ἃ ῥίψουσιν βροτοὶ αὐτοὶ
ἐν σχισμαῖς πετρῶν κατακρύψαντες δι' ὄνειδος,
ὁππότ' ἂν Αἰγύπτου βασιλεὺς νέος ἕβδομος ἄρχῃ
τῆς ἰδίης γαίης ἀριθμούμενος ἐξ Ἑλλήνων
ἀρχῆς, ἧς ἄρξουσι Μακηδόνες ἄσπετοι ἄνδρες·
ἔλθῃ δ' ἐξ Ἀσίης βασιλεὺς μέγας, αἰετὸς αἴθων,
ὃς πᾶσαν σκεπάσει γαῖαν πεζοῖς τε καὶ ἵπποις,
πάντα δὲ συγκόψει καὶ πάντα κακῶν ἀναπλήσει·
ῥίψει δ' Αἰγύπτου βασιλήιον· ἐκ δέ τε πάντα
κτήμαθ' ἑλὼν ἐποχεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης.
καὶ τότε δὴ κάμψουσι θεῷ μεγάλῳ βασιλῆι
ἀθανάτῳ γόνυ λευκὸν ἐπὶ χθονὶ πουλυβοτείρῃ·
ἔργα δὲ χειροποίητα πυρὸς φλογὶ πάντα πεσεῖται.
καὶ τότε δὴ χάρμην μεγάλην θεὸς ἀνδράσι δώσει·
καὶ γὰρ γῆ καὶ δένδρα καὶ ἄσπετα ποίμνια μήλων
δώσουσιν καρπὸν τὸν ἀληθινὸν ἀνθρώποισιν
οἴνου καὶ μέλιτος γλυκεροῦ λευκοῦ τε γάλακτος
καὶ σίτου, ὅ περ ἐστὶ βροτοῖς κάλλιστον ἁπάντων.

606 sq.] Es. 2, 18 sq. 611—613] cf. Deuteron. 28, 49 sqq.

618] Lactantius div. inst. VII 19, 9 = vol. I p. 647 1 sq. Brandt: Erythraea quoque idem spopondit: 618 'ἔργα' — 'θεῶν κατακαυθήσονται' 619—623] Lactantius div. inst. VII 24, 13 = vol. I p. 662, 4—9 Brandt: et alio loco *(ait Erythraea)* de ubertate rerum: 619 'καὶ τότε' — 623 'ἁπάντων'

603] = *Fragm. III 20* λοιμὸν] λιμὸν *in* λοιμὸν *corr. P* ἰδ'] ἠδ' *Ψ*
604 *sq.*] *cf. III 278 sq.* ἀθάνατον γενετῆρα θεὸν πάντων ἀνθρώπων | οὐκ ἔθελες τιμᾶν, θνητῶν δ' εἴδωλα ἐτίμας 604 οὕνεκεν] οὕνεκ' *A* 606 ἃ—αὐτοὶ] *cf. VIII 224* ῥίψουσιν δ' εἴδωλα βροτοί *XI 88* εἴδωλα δὲ ῥίψει ῥίψουσιν] ῥίψουσι *codd. praeter A, qui* ῥέξουσι *habet* 607 κατακρύψαντες] κρύψαντες *Ψ* 608 *sq.*] *cf. III 192* ἄχρι πρὸς ἑβδομάτην βασιληίδα, ἧς βασιλεύσει | Αἰγύπτου βασιλεύς, ὃς ἀφ' Ἑλλήνων γένος ἔσται
ἕβδομος] *Alexandre,* ἕβδομον *Φ Ψ* 609 γαίης] γενεῆς *Castalio* 610 Μακηδόνες] *A,* μακεδόνες *codd. cett.* 611 αἰετὸς αἴθων] = *XIV 224* 612 πεζοῖς τε καὶ ἵπποις] *ipse correxi (cf. Hom.* ξ *267* ρ *436),* πεζῶν τε καὶ ἱππέων *Φ Ψ ex III 805*
613] = *III 188* 614 Αἰγύπτου βασιλήιον] = *III 159 VIII 6* 615 ἐποχεῖται] *Φ, cf. Meineke Phil. VIII 582 sqq. Herm. II 189,* ὀχεῖται *Ψ,* ἀποχεῖται *Alexandre*
617 ἐπὶ χθονὶ πουλυβοτείρῃ] = *XIII 136* 618 ἔργα δὲ χειροποίητα] *cf. III 722* ἔργα τε χειροποίητα πυρὸς—πεσεῖται] θεῶν κατακαυθήσονται *Lactantius* πυρὸς] *om. Ψ* 619 δὴ] *ΔΕ Lactanti cod. B* θεὸς] *om. Ψ* 620—623] *sq. III 744 sq.* γῆ γὰρ παγγενέτειρα βροτοῖς δώσει τὸν ἄριστον | καρπὸν ἀπειρέσιον σίτου οἴνου καὶ ἐλαίου 620 ποίμνια μήλων] θρέμματα γαίης *Lactantius* ποίμνια] πόμνια *P*
621 δώσουσιν] *Lactantius,* δώσουσι *codd. Sibyll. (in P rubro Betulei manu additum ν)*
622—640] *iterum scripti inveniuntur in A post v. 725* 622 καὶ μέλιτος] μέλιτος *P,* καὶ *minio superscriptum Betulei manu*

III ἀλλὰ σὺ μὴ μέλλων, βροτὲ ποικιλόμητι, βράδυνε,
ἀλλὰ παλίμπλαγκτος στρέψας θεὸν ἱλάσκοιο.
θῦε θεῷ ταύρων ἑκατοντάδας ἠδὲ καὶ ἀρνῶν
πρωτοτόκων αἰγῶν τε περιπλομένῃσιν ἐν ὥραις.
ἀλλά μιν ἱλάσκου, θεὸν ἄμβροτον, αἴ κ' ἐλεήσῃ.
αὐτὸς γὰρ μόνος ἐστὶ θεὸς κοὐκ ἔστιν ἔτ' ἄλλος.
τὴν δὲ δικαιοσύνην τίμα καὶ μηδένα θλῖβε.
ταῦτα γὰρ ἀθάνατος κέλεται δειλοῖσι βροτοῖσιν.
ἀλλὰ σὺ τοῦ μεγάλοιο θεοῦ μήνιμα φύλαξαι,
ὁππότε κεν πάντεσσι βροτοῖς λοιμοῖο τελευτὴ
ἔλθῃ καὶ φοβεροῖο δίκης τετύχωσι δαμέντες,
καὶ βασιλεὺς βασιλῆα λάβῃ χώρην τ' ἀφέληται,
ἔθνη δ' ἔθνεα πορθήσῃ καὶ φῦλα δυνάσται,
ἡγεμόνες δὲ φύγωσιν ἐς ἄλλην γαῖαν ἅπαντες,
ἀλλαχθῇ δέ τε γαῖα βροτῶν καὶ βάρβαρος ἀρχὴ
Ἑλλάδα πορθήσῃ πᾶσαν καὶ πίονα γαῖαν
ἐξαρύσῃ πλούτοιο καὶ ἀντίον εἰς ἔριν αὐτῶν
ἔλθωσιν χρυσοῦ τε καὶ ἀργύρου εἵνεκεν — ἔσται
ἡ φιλοχρημοσύνη κακὰ ποιμαίνουσα πόλεσσιν —
χώρῃ ἐν ἀλλοτρίῃ· ἄταφοι δέ τε πάντες ἔσονται,
καὶ τῶν μὲν γῦπές τε καὶ ἄγρια θηρία γαίης

629] Deuteron. 4, 36 Es. 45, 5, 21, 23

624 sq.] Clemens Alex. Protrept. VII 74 = vol. I 81, 1 Dindorf: *οὕτως μὲν δὴ Ὀρφεύς· χρόνῳ δέ ποτε συνῆκεν πεπλανημένος·* 624 'ἀλλὰ' — 625 'ἱλάσκοιο'

624 *μέλλων] Clemens, πολλὴν codd. Sibyll. βροτὲ ποικιλόμητι] = III 217, cf. I 6 ποικίλε θνητέ βράδυνε] Clemens, κακόφρον codd. Sibyll. (κακόφρων superscripto ο A)* 625 *παλίμπλαγκτος] Clemens, λιπὼν πλοῦτον codd. Sibyll.* 626 *ταύρων—αἰγῶν τε] cf. III 576 sq. ταύρων . . . θυσίαις . . . πρωτοτόκων ὀίων τε καὶ ἀρνῶν πίονα μῆλα καὶ] om. P* 627 *περιπλομένῃσιν] dedi, περιπλομέναισιν Φ, περιπλομέναις Ψ* 629] *= III 760, cf. VIII 377 μοῦνος γὰρ θεός εἰμι καὶ οὐκ ἔστιν θεὸς ἄλλος (cf. ad h. v.) αὐτὸς] ipse dedi ex l. c., οὗτος Φ Ψ κοὐκ] καὶ οὐκ Ψ* 630 *καὶ μηδένα θλῖβε] cf. II 74 μὴ θλῖβε πένητα* 631 *δειλοῖσι βροτοῖσιν] = III 662, 759* 632 *φύλαξαι] φύλαξε Ψ* 633 *βροτοῖς] βροτοῖσι Ψ λοιμοῖο τελευτὴ] θανάτοιο τελευτὴ Nauck, sed cf. Gfroerer Phil. II 155 'nicht das Ende der Pest, sondern ihre Vollendung'* 634 *φοβεροῖο δίκης] cf. I 322 III 777, Φοβεροῖο (θεοῦ) δίκης Gfroerer δίκης] δίκη P, δίκην A B τετύχωσι] Meineke et Nauck coll. Hom. Δ 116 var. lect. εἴ περ τετύχησι (τε τύχησι volgo) Maxim. π. καταρχ. 577 τετύχησι Maneth. III 299 τετύχοιεν* 635 *χώρην] χώραν Φ Ψ* 636 *πορθήσῃ] Opsopoeus, πορθήσει Φ Ψ* 637 *ἡγεμόνες] ἡγεμόνας superscripto ες A ἐς] εἰς Ψ* 638 *ἀλλαχθῇ δέ] Alexandre, ἀλλάχθη γε Φ Ψ* 639 *πορθήσῃ] Opsopoeus, πορθήσει Φ Ψ* 640 *ἐξαρύσῃ] Opsopoeus, ἐξαρύσει Φ, ἐξαρρύσει Ψ* 641 *ἔλθωσιν] ἔλθωσι Ψ, ἔλθουσιν A, ἔλθουσι P B εἵνεκεν] ἕνεκεν Ψ* 642] *cf. II 111 ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης VIII 17 ἀρχὴ πᾶσι κακῶν φιλοχρημοσύνη καὶ ἄνοια III 235 φιλοχρημοσύνην, ἥ τε κακὰ μυρία τίκτει | θνητοῖς ἀνθρώποις, πόλεμον καὶ λιμὸν ἄπειρον κακὰ—πόλεσσιν] Alexandre, κακὰ ποιμένουσα πόλεσσι Φ, κακὰ πημαίνουσα πόλεσσι Ψ, κακὰ πημαίνουσα πόληας Nauck* 643 *χώρῃ ἐν ἀλλοτρίῃ] cf. III 511 γαίῃ δ' ἀλλοτρίῃ δέ τε πάντες] ipse scripsi, δὲ ἅπαντες Φ Ψ* 644 *τῶν] τὰ Ψ*

III σάρκας δηλήσονται· ἐπὴν δὴ ταῦτα τελεσθῇ,
λείψανα γαῖα πέλωρος ἀναλώσειε θανόντων.
αὐτὴ δ᾽ ἄσπαρτος καὶ ἀνήροτος ἔσται ἅπασα
κηρύσσουσα τάλαινα μύσος μιαρῶν ἀνθρώπων
πολλὰ χρόνων μήκη περιτελλομένων ἐνιαυτῶν,
πέλτας καὶ θυρεοὺς γαισοὺς παμποίκιλά θ᾽ ὅπλα·
οὐδὲ μὲν ἐκ δρυμοῦ ξύλα κόψεται ἐς πυρὸς αὐγήν.
καὶ τότ᾽ ἀπ᾽ ἠελίοιο θεὸς πέμψει βασιλῆα,
ὃς πᾶσαν γαῖαν παύσει πολέμοιο κακοῖο,
τοὺς μὲν ἄρα κτείνας, τοῖς δ᾽ ὅρκια πιστὰ τελέσσας.
οὐδέ γε ταῖς ἰδίαις βουλαῖς τάδε πάντα ποιήσει,
ἀλλὰ θεοῦ μεγάλοιο πιθήσας δόγμασιν ἐσθλοῖς.
ναὸς δ᾽ αὖ μεγάλοιο θεοῦ περικαλλέι πλούτῳ
βεβριθώς, χρυσῷ τε καὶ ἀργύρῳ ἠδέ τε κόσμῳ
πορφυρέῳ· καὶ γαῖα τελεσφόρος ἠδὲ θάλασσα
τῶν ἀγαθῶν πλήθουσα. καὶ ἄρξονται βασιλῆες
ἀλλήλοις κοτέειν ἐπαμύνοντες κακὰ θυμῷ.
ὁ φθόνος οὐκ ἀγαθὸν πέλεται δειλοῖσι βροτοῖσιν.
ἀλλὰ πάλιν βασιλῆες ἐθνῶν ἐπὶ τήνδε γε γαῖαν
ἄθροοι ὁρμήσονται ἑαυτοῖς κῆρα φέροντες·
σηκὸν γὰρ μεγάλοιο θεοῦ καὶ φῶτας ἀρίστους
πορθεῖν βουλήσονται. ὁπηνίκα γαῖαν ἵκωνται,
θήσουσιν κύκλῳ πόλεως μιαροὶ βασιλῆες
τὸν θρόνον αὐτοῦ ἕκαστος ἔχων καὶ λαὸν ἀπειθῆ.

649—651] Ezech. 39, 9 sq. 652 sqq.] Dan. 7, 13 sq. 663 sqq.] Hierem. 1, 15

652 sq.] Lactantius div. inst. VII 8, 7 = vol. I p. 643, 5—7 Brandt: item alia *(Sibylla)*: 652 ʽκαὶ τότ᾽ʼ — 653 ʽκακοῖοʼ

645 *σάρκας] cum Gfroerero scribendum censui, σαρκῶν Φ Ψ ἐπὴν δὴ] ἐπὰν δὴ Volkmann, ἐπὰν (ἐπ᾽ ἂν P) δὲ Φ Ψ, ἐπεὶ δ᾽ ἂν Alexandre* 646—675 *incl.] desunt in A nullo lacunae indicio, librarii ut videtur incuria qui totam paginam triginta versuum neglexit* 646 *πέλωρος] πελώρη Hesiod. Theog. 159 ἀναλώσειε] Ψ, ἀνηλώσειε P, ἀναλώσεις B* 648 *μιαρῶν] Castalio, μυρίων Φ Ψ, μώρων Meineke, μελέων Alexandre* 649—651] *cf. III 728, 729, 731* 650 *γαισοὺς] γαισσοὺς Φ, κόρυθας III 729 παμποίκιλά θ᾽] ex l. c. Alexandre, παμποίκιλα (om. θ᾽) Φ Ψ* 651 *μὲν] τις Gfroerer, qui 649—651 uncis includi iussit, γὰρ Gallaeus ex III 731* 654 *τοὺς μὲν] ipse dedi, οὓς μὲν Φ Ψ τοῖς δ᾽] ipse scripsi, οἷς δ᾽ Φ Ψ* 655 *ποιήσει] πο ήσει (parvo spatio inter ο et η intermisso) F* 657 *ναὸς] Meineke, λαὸς Φ, λαοὺς Ψ περικαλλέι] περικαλλεῖ P Ψ* 658 *κόσμῳ πορφυρέῳ] lapidem πορφυρίτην esse recte intellexit Meineke, qui ναὸς censuit esse scribendum πορφυρέῳ] πορφυρόει P B* 661 *κοτέειν] κοτείειν L κακὰ] κακῷ Ψ* 662] *ut suspectum Gfroerer cancellis includere voluit δειλοῖσι βροτοῖσιν] = III 631, 759* 663 *τήνδε γε] ipse scripsi, τήνδε τε Φ, τήν γέ τε Ψ* 664 *ἑαυτοῖς] ἑαυτοῖσι P* 665 *φῶτας ἀρίστους] = V 109* 666 *ἵκωνται] Alexandre, ἵκονται Φ Ψ* 667 *θήσουσιν κύκλῳ] ipse correxi ex Hierem. 1, 15: θήσουσιν ἕκαστος τὸν θρόνον αὐτοῦ ἐπὶ τὰ πρόθυρα τῶν πυλῶν Ἱερουσαλὴμ καὶ ἐπὶ πάντα τὰ τείχη τὰ κύκλῳ αὐτῆς καὶ ἐπὶ πάσας τὰς πόλεις Ἰούδα; θύσουσι κύκλῳ Φ, κυκλωθήσωσιν Ψ* 668 *ἀπειθῆ] an ἄβουλον? cf. III 734*

III καί ῥα θεὸς φωνῇ μεγάλῃ πρὸς πάντα λαλήσει
λαὸν ἀπαίδευτον κενεόφρονα· καὶ κρίσις αὐτοῖς
ἔσσεται ἐκ μεγάλοιο θεοῦ καὶ πάντες ὀλοῦνται
χειρὸς ὕπ' ἀθανάτοιο. ἀπ' οὐρανόθεν δὲ πεσοῦνται
ῥομφαῖαι πύρινοι κατὰ γαῖαν· λαμπάδες αὐγαὶ
ἵξονται μεγάλαι λάμπουσαί γ' ἐς μέσον ἀνδρῶν.
γαῖα δὲ παγγενέτειρα σαλεύσεται ἤμασι κείνοις
χειρὸς ὕπ' ἀθανάτοιο, καὶ ἰχθύες οἱ κατὰ πόντον,
πάντα δὲ θηρία γῆς πετεηνῶν τ' ἄσπετα φῦλα,
πᾶσαι δ' ἀνθρώπων ψυχαὶ καὶ πᾶσα θάλασσα
φρίξει ὑπ' ἀθανάτοιο προσώπου καὶ φόβος ἔσται.
ἠλιβάτους κορυφάς τ' ὀρέων βουνούς τε πελώρους
ῥήξει, κυάνεόν τ' ἔρεβος πάντεσσι φανεῖται.
ἠέριαι δὲ φάραγγες ἐν οὔρεσιν ὑψηλοῖσιν
ἔσσονται πλήρεις νεκύων· ῥεύσουσι δὲ πέτραι
αἵματι καὶ πεδίον πληρώσει πᾶσα χαράδρη.
τείχεα δ' εὐποίητα χαμαὶ πεσέονται ἅπαντα
ἀνδρῶν δυσμενέων, ὅτι τὸν νόμον οὐκ ἔγνωσαν
οὐδὲ κρίσιν μεγάλοιο θεοῦ, ἀλλ' ἄφρονι θυμῷ
πάντες ἐφορμηθέντες ἐφ' ἱερὸν ἤρατε λόγχας.
καὶ κρινέει πάντας πολέμῳ θεὸς ἠδὲ μαχαίρῃ
καὶ πυρὶ καὶ ὑετῷ τε κατακλύζοντι· καὶ ἔσται
θεῖον ἀπ' οὐρανόθεν, αὐτὰρ λίθος ἠδὲ χάλαζα
πολλὴ καὶ χαλεπή· θάνατος δ' ἐπὶ τετράποδ' ἔσται.

675] Psalm. 17, 8 676—684] Ezech. 38, 20 689—692] Ezech. 38, 21 sq.

672 sq.] *fortasse huc respexit* Lactantius div. inst. VII 19, 5 = vol. I p. 645, 8 sq.: cadet repente gladius e caelo

672 ὕπ'] *ipse scripsi,* ἀπ' Φ Ψ 673 ῥομφαῖαι πύρινοι] *cf. III 634* φοβεροῖο δίκης λαμπάδες αὐγαὶ] *Meineke (*λαμπάδες *adiectivum esse monens, ut Soph. Oed. Col. 1048* λαμπάδες ἀκταί *legitur),* λαμπάδες αὖ γε Φ, αὖ γε *om.* Ψ 674 ἵξονται] Ψ, ἥξονται Φ, *an* ἔσσονται? λάμπουσαί γ'] *ipse dedi,* λάμπουσαι Φ Ψ, λάμπουσαί τ' *Meineke, an* λάμψουσι δέ τ'? ἐς] εἰς Φ Ψ 675] = *III 714, cf. III 751* οὐδὲ βαρὺ στενάχουσα σαλεύσεται οὐκέτι γαῖα 676] *cf. ad III 646* ὕπ'] *ipse scripsi,* ἀπ' Φ Ψ πόντον] πάντων Ψ 677] *sic ipse versum conformavi,* πάνδε δὲ θηρία γαίης κἄσπετα (κἄσπετα *A)* φῦλα πετεινῶν Φ, πάντα δὲ θηρία γαίης ἠδ' ἄσπετα φῦλα πετεινῶν Ψ. πάντα δὲ θηρία γῆς ἠδ' ἄσπετα φῦλα πετεινῶν *Alexandre* 678 πᾶσαι—ψυχαὶ] = *II 203 III 558 VIII 350* 680 πελώρους] *ipse correxi,* πελώρων Φ Ψ 683 ῥεύσουσι αἵματι] *cf. III 804* αἱματικαῖς σταγόνεσσι πετρῶν ἄπο σῆμα γένηται 684 χαράδρη] χαράδρα *codd.* 685 τείχεα δ' εὐποίητα] *cf. III 524* δώματα δ' εὐποίητα τείχεα] τεύχεα Ψ χαμαὶ—ἅπαντα] *cf. III 275* πάντα χαμαὶ πεσέονται 686 ἔγνωσαν] *an* ἔγνωτε? (*cf.* ἤρατε 688) 687 ἄφρονι θυμῷ] = *III 722* 689 κρινέει] *ipse dedi,* κρίνει Φ, κρινεῖ Ψ 690 ὑετῷ τε κατακλύζοντι] *nihil mutandum, cf. Ezech. 38, 22* τε] *om.* F 691 αὐτὰρ] ἀτὰρ Ψ λίθος ἠδὲ χάλαζα] *cf. XIV 112* νιφὰς ἠδὲ χάλαζα

III καὶ τότε γνώσονται θεὸν ἄμβροτον, ὃς τάδε κραίνει·
οἰμωγὴ δ', ἀλαλαγμὸς ὁμοῦ κατ' ἀπείρονα γαῖαν
ἔσσεται ὀλλυμένων ἀνδρῶν· καὶ πάντες ἄναγνοι
αἵματι λούσονται· πίεται δέ τε γαῖα καὶ αὐτὴ
αἵματος ὀλλυμένων, κορέσονται θηρία σαρκῶν.
  αὐτός μοι τάδε πάντα θεὸς μέγας ἀέναός τε
εἶπε προφητεῦσαι. τόδε δ' ἔσσεται οὐκ ἀτέλεστον
οὐδ' ἀτελεύτητον, ὅτι κεν μόνον ἐν φρεσὶ θήῃ·
ἄψευστον γὰρ πνεῦμα θεοῦ πέλεται κατὰ κόσμον.
  υἱοὶ δ' αὖ μεγάλοιο θεοῦ περὶ ναὸν ἅπαντες
ἡσυχίως ζήσοντ' εὐφραινόμενοι ἐπὶ τούτοις
οἷς δώσει κτιστής τε δικαιοκρίτης τε μόναρχος.
αὐτὸς γὰρ σκεπάσειε μέγας μεγαλωστὶ παραστάς,
κύκλοθεν ὡς εἰ τεῖχος ἔχων πυρὸς αἰθομένοιο.
ἀπτόλεμοι δ' ἔσσονται ἐν ἄστεσιν ἠδ' ἐνὶ χώραις.
οὐ χεὶρ γὰρ πολέμοιο κακοῦ, μάλα δ' ἔσσεται αὐτοῖς
αὐτὸς ὑπέρμαχος ἀθάνατος καὶ χεὶρ ἁγίοιο.
καὶ τότε δὴ νῆσοι πᾶσαι πόλιές τ' ἐρέουσιν,
ὁππόσον ἀθάνατος φιλέει θεὸς ἄνδρας ἐκείνους·
πάντα γὰρ αὐτοῖσιν συναγωνιᾷ ἠδὲ βοηθεῖ,
οὐρανὸς ἠέλιός τε θεήλατος ἠδὲ σελήνη.
[γαῖα δὲ παγγενέτειρα σαλεύσεται ἤμασι κείνοις.]
ἡδὺν ἀπὸ στομάτων λόγον ἐξήσουσιν ἐν ὕμνοις·
'δεῦτε, πεσόντες ἅπαντες ἐπὶ χθονὶ λισσώμεσθα
ἀθάνατον βασιλῆα, θεὸν μέγαν ἀέναόν τε.

693] Ezech. 38, 23   716] Psalm. 94, 6

693 κραίνει] Opsopoeus, κρίνει (κρίνει ex κρήνει corr. P) Φ L, κρινεῖ F R   694 δ', ἀλαλαγμὸς ὁμοῦ] scripsi Meinekio duce, qui κ' ἀλαλαγμὸς ὁμοῦ coniecit, τε καὶ ἀλαλαγμὸς Φ, καὶ ἀλαλαγμὸς Ψ   ἀπείρονα γαῖαν] cf. II 194 ἀπείρονα κόσμον   695 ἔσσεται] Gfroerer, ἥξεται Ψ, ἥξεται Φ   ἄναγνοι] Meineke, ἄναυδοι Φ Ψ   696 δέ τε] δὲ Ψ   698] cf. III 162 sq., 298 sq., 491; praeterea v. VIII 359 αὐτός μοι τάδε πάντα θεὸς νόῳ ἐγκατέδειξεν   θεὸς μέγας ἀέναός τε] cf. III 717 θεὸν μέγαν ἀέναόν τε   ἀέναος] ἀέννaος P   699] cf. III 571 ὅσσα θεός γε μόνος βουλεύσεται οὐκ ἀτέλεστα   τόδε—ἀτέλεστον] ipse correxi suadente Nauckio (pluralis falso ex Hom. Δ 168 natus videtur esse), τάδε δ' (τάδ' P, τὸ δὲ A) ἔσσεται οὐκ ἀτέλεστα Φ Ψ   700 οὐδ' ἀτελεύτητον] ipse scripsi, cf. Hom. Α 527, οὐδ' ἀτελεύτητα Φ Ψ   ἐν φρεσὶ θήῃ] ipse dedi, ἐν φρεσὶ θείῃ Φ Ψ, ἐν φρεσὶ θείῃ Meineke, ὀφρύσι νεύσῃ ex Hom. l. c. Nauck   701 ἄψευστον] ἄψευδον Φ   ζήσοντ'] Castalio, ζήσονται Φ Ψ   704 κτιστής τε] ipse scripsi, κτίστης ὁ Φ Ψ   705 μέγας] Canter, μόνος Φ Ψ   μεγαλωστὶ] Meineke, μεγάλως τε Φ Ψ   706 κύκλοθεν] Opsopoeus, κύκλωθ' Φ, κύκλωθεν Ψ   αἰθομένοιο] αἰσθομένοιο P   707 ἐνὶ] Castalio, ἐν Φ Ψ   710 πόλιες] cum Meinekio scripsi, πόλεες Φ, πόλεις Ψ   τ'] τε P F   711 θεὸς] Meineke, τοὺς Φ Ψ   712] om. P   αὐτοῖσιν] B S, αὐτοῖσι A Ψ   714] ex III 675 falso huc translatum esse vidit Opsopoeus   σαλεύσεται] σαλεύεται B   715 λόγον] λόγων Ψ   ἐξήσουσιν ἐν ὕμνοις] ipse conieci, ἄξουσι δ' ἐν ὕμνοις Φ, ἀέξουσιν ἤμασι κείνοις Ψ (ex v. 714), ἄξουσιν δ' ἐνὶ ὕμνοις Opsopoeus   716 λισσώμεσθα] λισσώμεθα P   717 θεὸν μέγαν ἀέναόν τε] cf. III 698 θεὸς μέγας ἀέναός τε   ἀέναόν τε] ὕψιστόν τε Ψ

III πέμπωμεν πρὸς ναόν, ἐπεὶ μόνος ἐστὶ δυνάστης·
καὶ νόμον ὑψίστοιο θεοῦ φραζώμεθα πάντες,
ὅς τε δικαιότατος πέλεται πάντων κατὰ γαῖαν.
ἡμεῖς δ' ἀθανάτοιο τρίβον πεπλανημένοι εἰμὲν
ἔργα τε χειροποίητα γεραίρομεν ἄφρονι θυμῷ
εἰδώλων ξοάνων τε καταφθιμένων ἀνθρώπων.'
ταῦτα βοήσουσιν ψυχαὶ πιστῶν ἀνθρώπων·
'δεῦτε, θεοῦ κατὰ δώματ' ἐπὶ στομάτεσσι πεσόντες
τέρψωμεν ὕμνοισι θεὸν γενετῆρα κατ' οἴκους,
ἐχθρῶν ὅπλα πορίζόμενοι κατὰ γαῖαν ἅπασαν
ἑπτὰ χρόνων μήκη περιτελλομένων ἐνιαυτῶν,
πέλτας καὶ θυρεοὺς κόρυθας παμποίκιλά θ' ὅπλα,
πολλὴν καὶ τόξων πληθὺν βελέων ἀκίδων τε·
οὐδὲ γὰρ ἐκ δρυμοῦ ξύλα κόψεται ἐς πυρὸς αὐγήν.'
ἀλλά, τάλαιν' Ἑλλάς, ὑπερήφανα παῦε φρονοῦσα·
λίσσεο δ' ἀθάνατον μεγαλήτορα καὶ προφύλαξαι.
στεῖλον δὴ ἐπὶ τήνδε πόλιν πάλι λαὸν ἄβουλον,
ὅς τε μὲν ἐξ ὁσίης γαίης πέλεται μεγάλοιο.

728—731] Ezech. 39, 9

721—723] 'Iustinus' cohort. ad gentil. c. 16 = vol. II p. 64 Otto[3]: εἶτ' ἀλλαχοῦ που οὕτως (λέγει Σίβυλλα)· 721 'ἡμεῖς' — 723 'ἀνθρώπων' 727—731] Lactantius div. inst. VII 26, 4 = vol. I p. 666, 9—11 Brandt: tum per annos septem perpetes intactae erunt silvae nec excidetur de montibus lignum, sed arma gentium comburentur

718 μόνος] μόνον *Ψ* 721] *cf. Fragm. I 23* καὶ τρίβον ὀρθὴν | εὐθεῖαν προλιπόντες τρίβον] *Ψ, om. Φ,* τρίβους *'Iustini' codd.* εἰμὲν] *'Iustini' codd. A B D G, quod recepit Otto:* ἦμεν *'Iustini' codd. C E F,* ἦμεν *codd. Sibyll.* 722 *sq.*] *cf. Fragm. III 28 sq.* σέβεσθε . . καὶ λίθινα ξόανα καὶ ἀγάλματα χειροποίητα *III 588* καὶ ξυλίνων λιθίνων τε θεῶν εἴδωλα καμόντων . . . τιμῶσιν *III 554* πολλὰ θεῶν εἴδωλα καταφθιμένων ἀναθέντες ἔργα τε χειροποίητα] *cf. III 618* ἔργα δὲ χειροποίητα τε] δὲ *'Iustinus'* γεραίρομεν] *'Iustinus',* σεβάσμεθα *Φ,* σεβάσθημεν *Ψ,* σεβαζόμεθ' *Alexandre* ἄφρονι θυμῷ] = *III 687* θυμῷ] μύθῳ *'Iustini' codd. praeter F* 723] εἴδωλα ξοάνων τε (τε *superscr.*) καταφθιμένων ἀνθρώπων *'Iustini' cod. F,* εἴδωλα · ξοάνων καταφθιμένων τ' ἀνθρώπων *'Iustini' codd. A B C,* εἴδωλα ξοάνων τε καταφθιμένων τ' ἀνθρώπων *'Iustini' codd. D G,* εἴδωλα ξοανά τε καταφθιμένων ἀνθρώπων *coniecit Otto in 'Iustino'* 724] *om. P* βοήσουσιν] βοήσουσι *Φ Ψ* 725 δώματ'] *Hartel,* δῆμον *Φ Ψ,* νηὸν *Meineke* 725] *post hunc undeviginti versus, qui supra leguntur v. 622—640 iterum scriptos exhibet A addita in margine adnotatione:* περιττοὶ στίχοι ἐννεακαίδεκα 726 τέρψωμεν—θεὸν] *Castalio,* ὕμνοισιν τέρψωμεν θεὸν *Φ,* ὕμνοισι πέμψωμεν θεὸν *Ψ,* ὕμνοισιν τέρψωμεν ἐὸν *Meineke* κατ' οἴκους] *cf. II 269,* κατ' οἶκον *Gfroerer* 727—731] *uncis saepsit Gfroerer* 728 *sq.*] *cf. III 649 sq.* ἐνιαυτῶν] αὐτῶν *P* 729 θ'] τ' *Φ,* τε *Ψ. θ' restituit Opsopoeus* 730 πολλὴν—πληθὺν] *ipse scripsi.* πολλὰ δὲ καὶ τόξων πληθὺν *Φ Ψ,* πολλὰ δὲ καὶ τόξων πλήθη *Alexandre* ἀκίδων] *Meineke,* ἀδίκων *Φ Ψ* 731] = *III 651* οὐδὲ γὰρ] οὐδὲ μὲν *III 651,* οὐδέ τις *hic quoque Gfroerer* ἐκ δρυμοῦ] ἐν χειρὶ ἐκ δρυμοῦ *Ψ* κόψεται] κόψεται *superscripto* ε *A,* κόψετε *P* ἐς] *P,* εἰς *codd. cett.* 732 τάλαιν'] *Ψ (sed* ταλέν' *L),* ἀλὲν *P,* ἀλὲν *B, om. A spatio relicto* 734 στεῖλον δὴ] στεῖλαι μὴ *Bleek,* στεῖλον μὴ *Ewald,* μὴ στεῖλαι *Gfroerer v. 735 serius insertum esse arbitratus post corruptum initium versus 734* ἐπὶ τήνδε πόλιν] ἐπὶ τήνδε (τὴν δὲ *A*) τε τὴν πόλιν *Φ,* ἐπὶ τήνδε πόλιν *Ψ* πάλι] *ipse suppleci, om. codd.,* τὸν *Castalio* 735 ὅς τε μὲν] *Volkmann,* ὅστε (ὅς τέ) μιν *Φ Ψ* μεγάλοιο] *genuinum?*

III *μὴ κίνει Καμάριναν· ἀκίνητος γὰρ ἀμείνων·*
πάρδαλιν ἐκ κοίτης, μή τοι κακὸν ἀντιβολήσῃ.
ἀλλ' ἀπέχου, μηδ' ἴσχ' ὑπερήφανον ἐν στήθεσσιν
θυμὸν ὑπερφίαλον, στείλασ' ἐς ἀγῶνα κραταιόν.
καὶ δούλευε θεῷ μεγάλῳ, ἵνα τῶνδε μετάσχῃς·
ὁππότε δὴ καὶ τοῦτο λάβῃ τέλος αἴσιμον ἦμαρ,
[ἐς δὲ βροτοὺς ἥξει κρίσις ἀθανάτοιο θεοῖο,]
ἥξει ἐπ' ἀνθρώπους μεγάλη κρίσις ἠδὲ καὶ ἀρχή.
γῆ γὰρ παγγενέτειρα βροτοῖς δώσει τὸν ἄριστον
καρπὸν ἀπειρέσιον σίτου οἴνου καὶ ἐλαίου·
αὐτὰρ ἀπ' οὐρανόθεν μέλιτος γλυκεροῦ ποτὸν ἡδὺ
δένδρεά τ' ἀκροδρύων καρπὸν καὶ πίονα μῆλα
καὶ βόας ἔκ τ' οἴων ἄρνας αἰγῶν τε χιμαίρας·
πηγάς τε ῥήξει γλυκερὰς λευκοῖο γάλακτος·
πλήρεις δ' αὖτε πόλεις ἀγαθῶν καὶ πίονες ἀγροὶ
ἔσσοντ'· οὐδὲ μάχαιρα κατὰ χθονὸς οὐδὲ κυδοιμός·
οὐδὲ βαρὺ στενάχουσα σαλεύσεται οὐκ ἔτι γαῖα·
οὐ πόλεμός τ' οὐδ' αὖτε κατὰ χθονὸς αὐχμὸς ἔτ' ἔσται,
οὐ λιμὸς καρπῶν τε κακορρέκτειρα χάλαζα·
ἀλλὰ μὲν εἰρήνη μεγάλη κατὰ γαῖαν ἅπασαν,

749] cf. Es. 35, 6

736 *μὴ κίνει Καμάριναν*] *proverbium affert* Zenobius V 18 = paroemiogr. Graec. vol. I p. 123, 1 Leutsch; Gregorius Cyprius IV 41 = vol. II p. 123, 3 Apostolius XI 49 = vol. II 527, 17 741—743] Lactantius div. inst. VII 20, 1 sq. = vol. I p. 647, 6—10 Brandt: de quo iudicio et regno aput Erythraeam Sibyllam sic invenitur:

736 *Καμάριναν*] *Καμαρίναν Φ* 736 *μή τοι*] *μή τι Ψ* *ἀντιβολήσῃ*] *Volkmann, ἀντιβολήσῃς Φ Ψ* 738 *ἴσχ'*] *ἴσχε Ψ* 739 *στείλασ' ἐς*] *Alexandre, στείλας πρὸς Φ Ψ* 741] = *III 569* *δὴ καὶ τοῦτο λάβῃ*] *Lactantius, καὶ τοῦτο (δὴ et λάβῃ om.) codd. Sibyll.* *αἴσιμον*] *Lactantius, αἴσιον codd. Sibyll.* 742] *uncis inclusi versum a Lactantio traditum, codicibus Sibyllinis ignotum; altera est recensio versus 743 (cf. III 154 sq.)* *ἐς*] *εἰς Lactantius* 743] *cf. III 784 αὕτη γὰρ μεγάλοιο θεοῦ κρίσις ἠδὲ καὶ ἀρχή* 743] *uncis inclusit Alexandre* *μεγάλη—ἀρχή*] *Lactantius, ἀγαθοὺς μεγάλοιο κατ' ἀρχήν (καταρχήν Φ) codd. Sibyll., ἀγαθοῦ μεγάλοιο καταρχή Volkmann* 744 *sq.*] *cf. III 620—623 καὶ γὰρ γῆ καὶ δένδρα καὶ ἄσπετα ποίμνια μήλων | δώσουσιν καρπὸν τὸν ἀληθινὸν ἀνθρώποισιν | οἴνου καὶ μέλιτος γλυκεροῦ λευκοῦ τε γάλακτος | καὶ σίτου, ὅ περ ἐστὶ βροτοῖς κάλλιστον ἁπάντων VIII 211 sq. (γαῖα) . . . πηγὰς δὲ γλυκεροῦ οἴνου λευκοῦ τε γάλακτος | καὶ μέλιτος δώσει II 318 καὶ τρισσαὶ πηγαὶ οἴνου μέλιτός τε γλάγους τε* 746 *αὐτὰρ*] *ἀτὰρ F* 747 *ἀκροδρύων*] *ἀκροδρύω P* 748 *ἔκ τ' οἴων*] *Volkmann, ἔκ τ' ἀρνῶν Φ Ψ* *χιμαίρας*] *Volkmann et Alexandre, χειμάρρους P, χιμάρρους A, χιμάρους Ψ* 750 *αὖτε*] *αὖ L R* 751 *χθονὸς*] *χθονὸς αὐχμὸς (e v. 753) Ψ* *οὐδὲ κυδοιμός—753 κατὰ χθονὸς incl.*] *om. A versu 751 sic contaminato: ἔσσοντ' οὐδὲ μάχαιρα κατὰ χθονὸς αὐχμὸς ἔτ' ἔσται* 752] *cf. III 675, 714 γαῖα δὲ παγγενέτειρα σαλεύσεται ἤμασι κείνοις* 753 *πόλεμός τ'*] *τ' om. Ψ* *αὖτε*] *Meineke, αὖ γε Φ, αὖ Ψ* *ἔτ' ἔσται*] *ἔσται Ψ, an ἐπέσται sicut III 538?* 754 *λιμὸς*] *λοιμὸς Ψ* *κακορρέκτειρα*] *Dausqueius et Schneider, κακορρήτειρα Φ, κακορήτειρα Ψ, καταρρήκτειρα Meineke* 755] *cf. III 780 πᾶσα γὰρ εἰρήνη ἀγαθῶν ἐπὶ γαῖαν ἵκηται XI 79 ἔσσεται εἰρήνη μεγάλη κατὰ κόσμον ἅπαντα* *μὲν*] *Alexandre, μιν Φ, μὴν Ψ*

III καὶ βασιλεὺς βασιλῆι φίλος μέχρι τέρματος ἔσται
αἰῶνος, κοινόν τε νόμον κατὰ γαῖαν ἅπασαν
ἀνθρώποις τελέσειεν ἐν οὐρανῷ ἀστερόεντι
ἀθάνατος, ὅσα πέπρακται δειλοῖσι βροτοῖσιν·
αὐτὸς γὰρ μόνος ἐστὶ θεὸς κοὐκ ἔστιν ἔτ' ἄλλος·
αὐτὸς καὶ πυρὶ φλέξειεν χαλεπὸν μένος ἀνδρῶν.
  ἀλλὰ κατάστρεψον μὲν ἑὰς φρένας ἐν στήθεσσιν,
φεῦγε δὲ λατρείας ἀδίκους· τῷ ζῶντι λάτρευε·
μοιχείας πεφύλαξο καὶ ἄρσενος ἄκριτον εὐνήν·
τὴν δ' ἰδίην γένναν παίδων τρέφε μηδὲ φόνευε·
ταῦτα γὰρ ἀθάνατος κεχολώσεται ὅς κεν ἁμάρτῃ.
  καὶ τότε δὴ ἐξεγερεῖ βασιλήιον εἰς αἰῶνας
πάντας ἐπ' ἀνθρώπους, ἅγιον νόμον ὅς ποτ' ἔδωκεν
εὐσεβέσιν, τοῖς πᾶσαν ὑπέσχετο γαῖαν ἀνοίξειν
καὶ κόσμον μακάρων τε πύλας καὶ χάρματα πάντα
καὶ νόον ἀθάνατον αἰώνιον εὐφροσύνην τε.
πάσης δ' ἐκ γαίης λίβανον καὶ δῶρα πρὸς οἴκους
οἴσουσιν μεγάλοιο θεοῦ· κοὐκ ἔσσεται ἄλλος

760] cf. ad III 629   772 sq.] Psalm. 71, 10 sq.

741 'ὁππότε' — 743 'ἀρχή'   763—766] Lactantius de ira div. 22 = vol. II p. 244 Fritzsche: rursus alio loco enumerans quibus maxime facinoribus incitetur deus haec intulit: 763 'φεῦγε' — 766 'ἁμάρτῃ'

756 βασιλῆι] βασιλεῖ F   758 ἀνθρώποις] *Castalio*, ἀνθρώπους Φ Ψ   759 ὅσα] θ' ὅσα Ψ   δειλοῖσι βροτοῖσιν] = *III 631, 662*   760] = *III 629, cf. VIII 377* μοῦνος γὰρ θεός εἰμι καὶ οὐκ ἔστιν θεὸς ἄλλος   κοὐκ] καὶ οὐκ *hoc loco* Φ Ψ, *cf. l. c.*   761 φλέξειεν χαλεπὸν μένος] φλέξει χαλεπῶν γένος Ψ   762 κατάστρεψον μὲν ἑὰς] *ipse temptavi*, καταπεύσαντες ἐμὰς Φ Ψ   764 φεῦγε δὲ] *Lactantius* (ΦΕΥΘΗ ΔΕ *cod. Par.*), φεύγετε Φ Ψ   λατρείας] ΛΑΤΡΙΑϹ *cod. Bon.*, ΛΑΘΡΙΑϹ *cod. Par. Lactanti*   ἀδίκους] *Castalio*, ἀδίκου Φ Ψ, ἀνόμους (ΑΝΩΜΩΥϹ *cod. Par.*) *Lactantius*   τῷ ζῶντι] Φ Ψ, ΤΟΖΟΝΤΙ *cod. Bon.*, ΘΩ ΖΩΘΩΝΤΙ *cod. Par. Lactanti*, θεῷ ζῶντι *Lactanti editt. vett.*   λάτρευε] *Lactantius* (ΛΑΘΡΕΥΕ *cod. Par.*), λατρεύετε *codd. Sibyll.*   764] *cf. V 430* οὐδὲ γαμοκλοπίαι καὶ παίδων Κύπρις ἄθεσμος *V 166* μοιχεῖαι παρά σοι καὶ παίδων μίξις ἄθεσμος *IV 33 sq.* οὐδ' ἄρ' ἐπ' ἀλλοτρίῃ κοίτῃ πόθον αἰσχρὸν ἔχοντες | οὐδέ τ' ἐπ' ἄρσενος ὕβριν ἀπεχθέα τε στυγερήν τε   μοιχείας] (ΜΟΙΧΙΑϹ *cod. Bon.*, ΜΩΙΧΙΑϹ *cod. Par.*) *Lactantius, cf. V 166*, μοιχείαν Φ Ψ   πεφύλαξο] τε φύλαξαι (ΘΕ ΦΥΛΑΞΕ *cod. Bon.*, ΘΕ ΦΥΛΑΞΑΙ *cod. Par.*) *Lactantius*   καὶ—εὐνήν] *II 73* μὴ ἀρσενοκοιτεῖν   ἄρσενος—εὐνήν] *Lactantius* (ΑΡϹΕΝΑϹ ΑΚΡΙΘΩΝ ΕΥΝΗΝ *cod. Par.*), ἀκρίτου ἄρσενος εὐνήν *codd. Sibyll.*, ἄκριτον ἄρσενος εὐνήν *Opsopoeus*   765 ἰδίην] *dedi*, ἰδίαν Φ Ψ *Lactantius*   γένναν] Φ Ψ *Lactantius, an* γενεήν?   τρέφε] ΘΡΙΦΗ *cod. Par. Lactanti*   φόνευε] *Lactantius* (ΦΩΝΝΕΥΕ *cod. Par.*), φονεύσῃς *codd. Sibyll.*   766 ταῦτα] *Lactantius* (ΘΑΥΘΑ *cod. Par.*), τοῖσδε *codd. Sibyll.*   ἀθάνατος] θάνατος A   κεν] κἂν Φ   767 δὴ ἐξεγερεῖ] P Ψ, δὲ ἐξεγερεῖ B, δὴ ἐγερεῖ A   εἰς αἰῶνας] εἰς τοὺς αἰῶνας Φ   768] *spurium esse censuit Bleek*   ὅς ποτ'] *Alexandre*, ὁππότ' Φ Ψ   769 εὐσεβέσιν] εὐσεβέσι Ψ   πᾶσαν] *Gfroerer*, πᾶσιν Φ Ψ   770 καὶ—πύλας] Ψ, καὶ κόσμον τε πύλας μακάρων Φ; *fortasse* καὶ κόσμοιο πύλας μακάρων   771 νόον] *ipse dedi*, νοῦν Φ Ψ   772 πρὸς οἴκους] = *III 314, cf. III 726* κατ' οἴκους; πρὸς οἶκον *maluit Gfroerer*   773 οἴσουσιν] οἴσουσι Ψ   κοὐκ] καὶ οὐκ Φ Ψ, κ' οὐκ *Opsopoeus, correxit Alexandre*   ἔσσεται] ἔσετ' A

III οἶκος ἐπ' ἀνθρώποισι καὶ ἐσσομένοισι πυθέσθαι,
ἀλλ' ὃν ἔδωκε θεὸς πιστοῖς ἄνδρεσσι γεραίρειν·
ναὸν γὰρ καλέουσι βροτοὶ μεγάλοιο θεοῖο.
καὶ πᾶσαι πεδίοιο τρίβοι καὶ τρηχέες ὄχθαι
οὔρεά θ' ὑψήεντα καὶ ἄγρια κύματα πόντου
εὔβατα καὶ ἐυπλωτά περ ἔσσεται ἤμασι κείνοις·
πᾶσα γὰρ εἰρήνη ἀγαθῶν ἐπὶ γαῖαν ἵκηται·
ῥομφαίην δ' ἀφελοῦσι θεοῦ μεγάλοιο προφῆται·
αὐτοὶ γὰρ κριταί εἰσι βροτῶν βασιλεῖς τε δίκαιοι.
ἔσται δὴ καὶ πλοῦτος ἐν ἀνθρώποισι δίκαιος·
αὕτη γὰρ μεγάλοιο θεοῦ κρίσις ἠδὲ καὶ ἀρχή.
εὐφράνθητι, κόρη, καὶ ἀγάλλεο· σοὶ γὰρ ἔδωκεν
εὐφροσύνην αἰῶνος, ὃς οὐρανὸν ἔκτισε καὶ γῆν.
ἐν σοὶ δ' οἰκήσει· σοὶ δ' ἔσσεται ἀθάνατον φῶς·
ἠδὲ λύκοι τε καὶ ἄρνες ἐν οὔρεσιν ἄμμιγ' ἔδονται
χόρτον παρδάλιές τ' ἐρίφοις ἅμα βοσκήσονται·
ἄρκτοι σὺν μόσχοις νομάδεσσ' αὐλισθήσονται·

777—779] Es. 40, 3 sq. 785] Es. 12, 6 Zachar. 2, 10 788—795] Es. 11, 6—9

775] Lactantius div. inst. IV 6, 5 = vol. I p. 289, 5 sq. Brandt: et rursus in fine *(ait Sibylla Erythraea)*: 775 'ἄλλον' — 'γεραίρειν'. *expilavit Lactantium* Pseudoaugustinus c. quinque haeres. vol. III append. p. 3 G: audiamus quid etiam Sibylla vates eorum (Graecorum *Brandt*) de eodem dicat. alium, inquit, dedit deus fidelibus hominibus (*var. lect.* filiis hominum) colendum 788—791. 794] Lactantius div. inst. VII 24,

774 ἐσσομένοισι] ἐσσομένοις Ψ 775 ἀλλ' ὃν] ἄλλον *Lactantius (cum Pseudoaugustino), a quo versum hunc a contextu carminis solutum ad aliam sententiam deflexum esse recte monuit Brandt (codd. Lactanti ΑΛΛΟΝ coniunctim, ΑΜΟΝ S P)* 'alium' *Pseudoaugustinus,* 'alterum' *Sedulius verterunt,* 'sed quem' *interpretatio latina codicis P,* 'sed quem alterum' *interpr. cod. S Lactanti* πιστοῖς ἄνδρεσσι] *Lactantius,* πιστὸν ἄνδρα *codd. Sibyll.* 776] *versus suspectus visus est Gfroerero et Hilgenfeldio* ναὸν] *Alexandre,* υἱὸν Φ Ψ, *quam interpolationem Christianam esse manifestum est* θεοῖο] θεοῦ *P* 777 τρηχέες ὄχθαι] *cf. I 322* τρηχέσιν ἀκταῖς; τρηχέος ὄχθαι Ψ 778 οὔρεά θ' ὑψήεντα] = *Fragm. III 6* ὑψήεντα] ὑψόεντα Ψ καὶ ἄγρια κύματα πόντου] *cf. Fragm. III 5* καὶ ὕδατος οἴδματα πόντου 779 εὔβατα] *Opsopoeus,* εὔβοτα *codd. praeter P, qui* ἄβοτα *exhibet* καὶ ἐυπλωτά περ] *ipse scripsi,* δὴ καὶ εὔπλοτα Φ, καὶ εὔπλωτα (εὔπλοτα *L*) γε Ψ 780] *cf. III 755* ἀλλὰ μὲν εἰρήνη μεγάλη κατὰ γαῖαν ἅπασαν *XI 79* ἔσσεται εἰρήνη μεγάλη κατὰ κόσμον ἅπαντα ἵκηται] *ipse correxi,* ἱκνεῖται Φ Ψ, *cf. III 304* 781 ῥομφαίην] *dedi,* ῥομφαίαν *codd.* δ'] τ' Ψ θεοῦ μεγάλοιο προφῆται] *cf. III 582* ὑπ' ἀθανάτοιο προφῆται ὑψωθέντες 782 κριταί εἰσι] *restitui cum Volkmanno et Meinekio,* κριταὶ ἐπὶ Φ Ψ 783 ἔσται δὴ] ἐσσεῖται δέ γε Ψ 784] *cf. III 743* ἥξει ἐπ' ἀνθρώπους μεγάλη κρίσις ἠδὲ καὶ ἀρχή 784] *hoc loco non esse genuinum censuit Bleek* κρίσις ἠδὲ καὶ] *Alexandre ex Lactantio (III 743),* κρίσις ἔσσεται Φ Ψ, κρίσεως ἔσετ' (ἀρχή) *Volkmann (κρίσεως etiam Gfroerer requisiverat)* 786 αἰῶνος] αἰώνιον Ψ ὃς—γῆν] = *III 35, 543* 788 ἠδὲ λύκοι] *Lactantius,* ἐν δὲ λύκοι *codd. Sibyll.,* ἔνθα λύκοι *Volkmann,* σὺν δὲ λύκοις *Meineke* ἄμμιγ' ἔδονται] *Lactantius,* ἄμμις ἔδονται Φ, ἅμα ἔδονται Ψ 789 παρδάλιες] παρδάλεες Φ βοσκήσονται] βοσκηθήσονται Ψ 790] *om. A* σὺν—αὐλισθήσονται] σὺν μόσχοις νομάδεσσιν ἀλισθήσονται *Meineke,* σὺν μόσχοισιν ὁμοῦ καὶ πᾶσι βροτοῖσιν *Lactantius* νομάδεσσ'] *ipse scripsi Meinekium secutus,* νομάδες Φ, νομάδιον Ψ

III σαρκοβόρος τε λέων ἄχυρον φάγεται ἐπὶ φάτνῃ
ὡς βοῦς· καὶ παῖδες μάλα νήπιοι ἐν δεσμοῖσιν
ἄξουσιν· πηρὸν γὰρ ἐπὶ χθονὶ θῆρα ποιήσει.
σὺν βρέφεσίν τε δράκοντες ἅμ' ἀσπίσι κοιμήσονται
κοὐκ ἀδικήσουσιν· χεὶρ γὰρ θεοῦ ἔσσετ' ἐπ' αὐτούς.
 σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, ὥς τε νοῆσαι,
ἡνίκα δὴ πάντων τὸ τέλος γαίηφι γένηται.
ὁππότε κεν ῥομφαῖαι ἐν οὐρανῷ ἀστερόεντι
ἐννύχιαι ὀφθῶσι πρὸς ἕσπερον ἠδὲ πρὸς ἠῶ,
αὐτίκα καὶ κονιορτὸς ἀπ' οὐρανόθεν προφέρηται
πρὸς γαῖαν πᾶσαν, καὶ δὴ σέλας ἠελίοιο
ἐκλείψει κατὰ μέσσον ἀπ' οὐρανοῦ ἠδὲ σελήνης
ἀκτῖνες προφανοῦσι καὶ ἂψ ἐπὶ γαῖαν ἵκωνται·
αἱματικαῖς σταγόνεσσι πετρῶν ἄπο σῆμα γένηται·
ἐν νεφέλῃ δ' ὄψεσθε μάχην πεζῶν τε καὶ ἱππέων,
οἷα κυνηγεσίην θηρῶν ὁμίχλῃσιν ὁμοίην.
τοῦτο τέλος πάντων τελέει θεὸς οὐρανὸν οἰκῶν.
ἀλλὰ χρὴ πάντας θύειν μεγάλῳ βασιλῆι.

800] Deuteron. 28, 24 801] Joel 2, 10, 30 sq.; 3 (4), 15

12 = vol. I p. 661, 19 — 662, 3 Brandt: Erythraea vero sic ait: 788 'ἠδὲ λύκοι' — 791 'φάτνῃ'; 794 'σὺν' — 'κοιμήσονται'

791 *ἄχυρον φάγεται] ἄχυρον φάγετ' Φ Ψ. correxit Opsopoeus, φάγεται ἄχυρον Lactantius ἐπὶ φάτνῃ] dedi ex Hom. λ 411, ἐν φάτνῃ Φ, ἐπὶ φάτνης Ψ, παρὰ φάτνῃ Lactantius 792 sq.] om. Lactantius, tamen vix videntur esse interpolati, cf. Esaiam 11, 6 sq.: 'καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνὸς καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται καὶ παιδίον μικρὸν ἄξει αὐτούς· καὶ βοῦς καὶ ἄρκος ἅμα βοσκηθήσονται καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα' ὡς βοῦς] in fine versus antecedentis habet Φ 793 ἄξουσιν] ἄξουσι Ψ, cf. Esaiam l. c.; ἕξουσιν (ἔξουσιν P) Φ πηρὸν] πυρρὸν Ψ ποιήσει] ποήσει F L, πτοήσει Φ 794 σὺν βρέφεσίν τε] Lactantius, καὶ βρεφέεσσι Φ, βρεφέεσσί τε (om. καὶ) Ψ ἅμ' ἀσπίσι] correxit Stadtmueller ex Esaia 11, 8 'καὶ παιδίον νήπιον ἐπὶ τρωγλῶν ἀσπίδων καὶ ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ'; ἅμα σφίσι codd. Sibyll., AMATHCI codd. B S,* amustesi *cod. H Lactanti, unde ἀκηδέσι Brandt temptavit, ἀμάτορσι(ν) (quod in ἀμήτορσιν mutabat Alexandre), κείσονται Boissonade κοιμήσονται] κοιμηθήσονται Ψ 795] neglectus a Lactantio, sed cf. Esaiam 11, 9 'καὶ οὐ μὴ κακοποιήσουσιν οὐδὲ μὴ δύνωνται ἀπολέσαι οὐδένα' κτλ. κοὐκ] οὐκ Ψ ἀδικήσουσιν] P. ἀδικήσουσι codd. cett. θεοῦ] Ψ, κυρίου Φ (κῦ' P) 796 τοι] Ψ, σοι Φ 797] cf. III 807 τοῦτο τέλος πάντων τελέει θεὸς οὐρανὸν οἰκῶν 798 ἕσπερον] Meineke, ἑσπέραν codd., cf. II 193 ἡμέραν 801 πρὸς— πᾶσαν] suspectum πᾶσαν] Alexandre, ἅπασαν Φ Ψ δὴ] Gfroerer, οἱ Φ Ψ 802 μέσσον] μέσον Ψ 803 προφανοῦσι] προφανῶσι Alexandre ἵκωνται] Alexandre, ἵκονται Φ Ψ 804] cf. III 683 ῥεύσουσι δὲ πέτραι | αἵματι αἱματικαῖς σταγόνεσσι] restitui cum Alexandro (adn. ed. prior. ad XII 75), αἵματι καὶ σταγόνεσσι Φ, αἵματι καὶ σταγόνες Ψ πετρῶν ἄπο] ipse scripsi, πετρῶν δ' ἀπὸ Φ Ψ, πετρῶν δ' ἄπο Alexandre 805 ὄψεσθε] ὄψεσθαι (superscripto ε A) Φ πεζῶν τε καὶ ἱππέων] cf. III 612 πεζοῖς τε καὶ ἵπποις τε] om. Φ Ψ, addidit Betuleius ἱππέων] ἱππείων Φ 807] cf. III 797 ἡνίκα δὴ πάντων τὸ τέλος γαίηφι γένηται πάντων τελέει] ipse restitui, cf. 797, πάντων θήσει malit Nauck, πολέμοιο τελεῖ Φ Ψ οὐρανὸν οἰκῶν] αἰθέρι ναίων suspicatur Nauck 808 μεγάλῳ] μεγάλῳ θεῷ Ψ*

III *ταῦτά σοι Ἀσσυρίης Βαβυλῶνος τείχεα μακρὰ*
οἰστρομανὴς προλιποῦσα ἐς Ἑλλάδα πεμπόμενον πῦρ
πᾶσι προφητεύουσα θεοῦ μηνίματα φαίνω,

* * *

ὥς τε προφητεῦσαί με βροτοῖς αἰνίγματα θεῖα.
καὶ καλέσουσι βροτοί με καθ' Ἑλλάδα πατρίδος ἄλλης,
ἐξ Ἐρυθρῆς γεγανῖαν, ἀναιδέα· οἱ δέ με Κίρκης
μητρὸς καὶ Γνωστοῖο πατρὸς φήσουσι Σίβυλλαν
μαινομένην ψεύστειραν· ἐπὴν δὲ γένηται ἅπαντα,
τηνίκα μου μνήμην ποιήσετε κοὐκ ἔτι μ' οὐδεὶς
μαινομένην φήσειε, θεοῦ μεγάλοιο προφῆτιν.

ὃς γὰρ ἐμοὶ δήλωσεν, ἃ πρὶν γενετῆρσιν ἐμοῖσιν·
ὅσσα τὰ πρῶτ' ἐγένοντο, τά μοι θεὸς ἐγκατέδειξεν,
τῶν μετέπειτα δὲ πάντα θεὸς νόῳ ἐγκατέθηκεν,
ὥς τε προφητεύειν με τά τ' ἐσσόμενα πρό τ' ἐόντα
καὶ λέξαι θνητοῖς. ὅτε γὰρ κατεκλύζετο κόσμος

809—814] Lactantius div. inst. I 6, 13 = vol. I p. 23, 2—5 Brandt: suntque *(libri Sibyllini)* confusi nec discerni ac suum cuique adsignari potest nisi Erythraeae quae et nomen suum verum carmini inseruit et Erythraeam se nominatuiri praelocuta est, cum esset orta Babylone 809 sq.] cf. 'Iustinum' cohort. ad gentil. 37 = vol. II p. 118 Otto[3]: *ταύτην δὲ (τὴν Σίβυλλαν) ἐκ μὲν Βαβυλῶνος ὡρμῆσθαί φασι* 815—819] Lactantius div. inst. IV, 15, 29 = vol. I p. 336, 10—15 Brandt: denique Erythraea fore ait ut diceretur insana et mendax. ait enim: 815 '*φήσουσι*' — 819 '*προφῆτιν*'

809 *Ἀσσυρίης Βαβυλῶνος] = III 160 VIII 7 Ἀσσυρίης] ἀσσυρίοις A Βαβυλῶνος] Opsopoeus scribendum proposuit ex ll. cc., βαβυλώνια Ψ, βαβυλώνεα Φ* 810 *ἐς] εἰς Ψ* 811 *πᾶσι προφητεύουσα] = VIII 3 προφητεύουσα] προφυτεύουσα A θεοῦ—φαίνω] = VIII 2 μηνίματα] Castalio ex l. c., μηνύματα Ψ, μιμήματα Φ φαίνω] ipse restitui ex l. c., θνητοῖς Φ, βροτοῖς Ψ* 811] *post hunc excidit aliquid; lacuna indicatur in margine P: λείπει δύο στίχοι; in marg. S: λείπει δύο στίχη (sic); similiter in codice Pithoei (p) duos versus desiderari notatum fuisse monet Opsopaeus; in A duorum versuum spatium relictum est* 813 *καλέσουσι] Lactantius (cf. supra):* 'Erythraeam se nominatuiri', *καλέουσι Φ Ψ* 814 *γεγανῖαν] Φ, γεγονυῖαν Ψ, cf. ad III 310* 815 *Γνωστοῖο] Γλαύκοιο maluit Bleek ex Verg. Aen. VI 36* Deiphobe Glauci, *cf. anonym. de Sibyll. 38* 816 *ψεύστειραν] ψεύστριαν Ψ ἐπὴν] ἐπ' ἦν P (ἐπὰν minio Betuleius in marg. addidit), ἐπὰν Lactantius* 817 *μου μνήμην] Lactantius, μνήμην μου codd. Sibyll. (in P Betuleius supra additis numeris rectum verborum ordinem indicavit) ποιήσετε] Φ, ποιήσουσι Ψ, ΠΟΙΗΣΑΤΕ codd. RP, ΠΟΙΗΣΟΝΤΕ cod. B, ΠΟΙΗΣΤΕ cod. S, ΠΟΙΝΣΤΗΤΑΙ cod. V Lactanti, ΠΟΙΕΣΤΗΤΑΙ Sedulius (ποιήσεται in Lactantio Struve) κοὐκ ἔτι] κ'οὐκέιι F, ΚΟΥΚΕΤΙ cod. B, ΚΕΥΚΕΤΙ cod. P, ΚΑΙΟΥΚΕΤΙ cod. V cum Sedulio, ΟΚΕΤΙ cod. S Lactanti (οὐκέτι Struve) μ' οὐδεὶς] δ' οὐδεὶς Ψ* 818 *μαινομένην] ΤΕΝ ΜΕΝΟΜΕΝΗΝ Sedulius φήσειε] φήσεις B, ΦΗΣΕΤΕ cod. S, ΦΗΣΕΙΤΕΝ V Lactanti μεγάλοιο] Lactantius, μεγάλην δὲ codd. Sibyll.* 819—829] *alius originis esse nemo non videt* 819 *ὃς] Castalio, οὐ Φ Ψ δήλωσεν] Castalio, δηλώσει Φ Ψ* 820 *ὅσσα—ἐγένοντο] cf. III 828 τῷ τὰ πρῶτ' ἐγένοντο τὰ πρῶτ'] ipse restitui ex v. l., τε πρῶτ' Φ Ψ τά—ἐγκατέδειξεν] cf. III 359 αὐτός μοι τάδε πάντα θεὸς νόῳ ἐγκατέδειξεν ἐγκατέδειξεν] ex l. c. restituit Meineke, κατέλεξε Φ Ψ, ἐγκατέλεξε Castalio* 821 *sq.] cf. III 698 sq. αὐτός μοι τάδε πάντα θεὸς μέγας ἀέναός τε | εἶπε προφητεῦσαι* 822 *ὥς τε προφητεύειν με] cf. III 812 ὥς τε προφητεῦσαί με* 823 *θνητοῖς. ὅτε γὰρ] θνητοῖσι γάρ ὡς (ωἱ F) Ψ*

III *ὕδασι καί τις ἀνὴρ μόνος εὐδοκίμιμος ἐλείφθη*
ὑλοτόμῳ ἐνὶ οἴκῳ ἐπιπλώσας ὑδάτεσσιν
σὺν θηρσὶν πτηνοῖσί θ', ἵν' ἐμπλησθῇ πάλι κόσμος·
τοῦ μὲν ἐγὼ νύμφη καὶ ἀφ' αἵματος αὐτοῦ ἐτύχθην,
τῷ τὰ πρῶτ' ἐγένοντο, τὰ δ' ἔσχατα πάντ' ἀπεδείχθη·
ὥς τ' ἀπ' ἐμοῦ στόματος τάδ' ἀληθινὰ πάντα λελέχθω.

823—827] anonymus praef. de Sibyll. 27: *πρώτη οὖν ἡ Χαλδαία ἤγουν ἡ Περσίς, ἡ κυρίῳ ὀνόματι καλουμένη Σαμβήθη ἐκ τοῦ γένους οὖσα τοῦ μακαριωτάτου Νῶε, unde hausit* scriptor anecdoti Parisini ed. Cramer I p. 332: *πρώτη ἡ καὶ Χαλδαία καὶ Περσίς, ἡ καὶ πρός τινων Ἑβραία ὀνομαζομένη, ἧς τὸ κύριον ὄνομα Σαμβήθη, ἐκ τοῦ γένους τοῦ μακαριωτάτου Νῶε*

824 *καὶ—ἐλείφθη*] *cf. VII 8 Νῶέ τις ἐκ πάντων μοῦνος φυγὰς ἤλυθεν ἀνδρῶν* *καί τις*] *χεῖς τις suspicatus est Meineke* *μόνος*] *ὃς ἂν Ψ* *ἐλείφθη*] *Castalio,* *ἐλήφθη codd.* 825 *ἐνὶ*] *ἐνὶ P* 826 *θηρσὶν*] *θηρσὶ Φ Ψ* *πάλι κόσμος*] *πάλιν κόσμος P B, κόσμος πάλιν Ψ* 827 *ἐτύχθην*] *A, cf. VIII 472 Fragm. I 16; ἐτέχθην codd. cett.* 828 *τῷ—ἐγένοντο*] *cf. III 820 ὅσσα τὰ πρῶτ' ἐγένοντο* 829] *cf. VIII 360 καὶ δι' ἐμοῦ στόματος τὰ λελεγμένα πάντα τελέσσαι* *λελέχθω*] *λελέχθων Gallaeus* 829] *subscriptio: ἐκ δὲ τοῦ τρίτου λόγου στίχοι αλδ R, στίχοι αλδ F L*

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

IV *Κλῦθι, λεὼς Ἀσίης μεγαλαύχεος Εὐρώπης τε,*
ὅσσα πολυφθόγγοιο διὰ στόματος μεγάροιο
μέλλω ἀφ' ἡμετέρου παραληθέα μαντεύεσθαι·
οὐ ψευδοῦς Φοίβου χρησμηγόρος, ὅν τε μάταιοι
ἄνθρωποι θεὸν εἶπον, ἐπεψεύσαντο δὲ μάντιν·
ἀλλὰ θεοῦ μεγάλοιο, τὸν οὐ χέρες ἔπλασαν ἀνδρῶν
εἰδώλοις ἀλάλοισι λιθογλύπτοισιν ὅμοιον.
οὐδὲ γὰρ οἶκον ἔχει νηῷ λίθον ἑλκυσθέντα
κωφότατον νωδόν τε, βροτῶν πολυαλγέα λώβην·
ἀλλ' ὃν ἰδεῖν οὐκ ἔστιν ἀπὸ χθονὸς οὐδὲ μετρῆσαι
ὄμμασιν ἐν θνητοῖς, οὐ πλασθέντα χερὶ θνητῇ·

4—7] Clemens Alex. Protrept. IV 50 = vol. I p. 55, 1—6 Dindorf: *διδάσκαλον δὲ ὑμῖν παραθήσομαι τὴν προφῆτιν Σίβυλλαν* 4 'οὐ ψεῦδος' — 7 'ὅμοιον'

Inscriptio: σιβύλλης λόγος ι Q, ἐκ τῶν προφητικῶν σιβύλλης λόγος ῑ V H (λόγος ι in marg. sinistro V), λόγος τέταρτος· περὶ θεοῦ καὶ διαφόρων χωρῶν καὶ νήσων P, περὶ θεοῦ καὶ διαφόρων χωρῶν καὶ νήσων A, λόγος τέταρτος Ψ κλῦθι] ipse scripsi, cf. IV 22 λεὼς ὑπάκουε, κλῦτε (κλύτε Q) Ω, κλαῦτε Φ Ψ, κλῦε Opsopoeus λεὼς—τε] cf. III 450 Εὐρώπης δ' Ἀσίης τε λεώς λεὼς] λεῷ retento κλῦτε Volkmann Ἀσίης—τε] cf. III 416 Ἀσίδος Εὐρώπης τε Ἀσίης] βασιλείης Ω μεγαλαύχεος] Ω, μεγαλαύχευ Φ, μεγάλαυχε Ψ 2 ὅσσα] ὅσα Ω πολυφθόγγοιο] Ω, μελιφθέκτοιο (μελιφθέγκτοιο A) Φ, μελιφθίτοιο Ψ μεγάροιο] Mendelssohn, μεγάλοιο codd. 3 sqq.] de hoc loco vix recte Badt: 'ich glaube . . ἀφ' ἡμετέρου μεγάλοιο als zusammengehörig auf θεοῦ (v. 6) beziehen zu müssen, dergestalt, dass der Dichter, der Anfangs ἀφ' ἡμετέρου μεγάλοιο θεοῦ hatte sagen wollen, sich unterbrechend sagt ἀφ' ἡμετέρου — οὐ ψευδοῦς Ἀπόλλωνος... κτλ. — ἀλλὰ θεοῦ μεγάλοιο' 3 ἀφ' ἡμετέρου] ἄρ' ἡμετέρου Meineke παραληθέα μαντεύεσθαι] cf. III 2 παραληθέα φημίξασαν 4 sq.] signis parentheseos includendos esse censuit Badt 4 ψευδοῦς Φοίβου χρησμηγόρος] Alexandre, ψευδοῦς φοίβου χρησμήτορος Φ, ψευδῆ φοίβου χρησμήτορος Ψ, φοίβου ψευδηγόρου (om. voce prima) Ω, ψεῦδος Φοίβου χρησμήγορον Clemens, ψευδοῦς Φοίβου χρησμηγόρου Schneider, ψευδοῦς Φοίβου ψευδηγόρου Badt; an scribendum χρησμοὺς Φοίβου ψευδηγόρου?
5 δὲ] τε Struve μάντιν] μάντις V H, μάντεις Q 6 τὸν—ἀνδρῶν] cf. IV 11 οὐ πλασθέντα χερὶ θνητῇ VII 95 τὸν μὴ χέρες ἐργάσσαντο 7 εἰδώλοις ἀλάλοισι] cf. VIII 379 ἐπ' εἰδώλοισιν ἀναύδοις ἀλάλοισι] ἄλλοισι Ω. ἀλαοῖσι Badt λιθογλύπτοισιν] restituit Alexandre, λίθοις (λύθοισ H) γλυπτοῖσιν Ω, λιθοξέστοισιν (λιθοξέστοις A) Φ Ψ Clemens (cuius codd. λιθοξέστοις habent) 8 οὐδὲ] Ω, οὔτε Φ Ψ νηῷ] ναῷ Φ Ω, ναὸν Ψ ἑλκυσθέντα] Q, ἑλκισθέντα V H, ἱδρυθέντα (ἱερυθέντα P) Φ Ψ 10 sq.] cf. Fragm. I 9 sq. αὐτὸς δ' οὐ βλέπεται θνητῆς ὑπὸ σαρκὸς ἁπάσης. | τίς γὰρ σὰρξ δύναται τὸν ἐπουράνιον καὶ ἀληθῆ | ὀφθαλμοῖσιν ἰδεῖν θεὸν ἄμβροτον οὐδὲ μετρῆσαι] οὐδ' ἐσαθρῆσαι? Badt 11 ἐν] οὐ Ω, μὲν Badt οὐ—θνητῇ] οὐ πλασθέντα χειρὶ θνητῇ Ω (χερὶ restituit Alexandre), οὐδ' ἐπέλασε (ἔπλασε Ψ) χεὶρ θνητῶν Φ Ψ (ex IV 6); χεὶρ θνητῶν δ' οὐδ' ἐπέλασσεν Badt

IV ὃς καθορῶν ἅμα πάντας ὑπ' οὐδενὸς αὐτὸς ὁρᾶται·
οὗ νὺξ τε δνοφερὴ καὶ ἡμέρη ἠέλιός τε
ἄστρα σεληναίη τε καὶ ἰχθυόεσσα θάλασσα
καὶ γαίη ποταμοί τε καὶ ἀενάων στόμα πηγῶν,
κτίσματα πρὸς ζωήν, ὄμβροι θ' ἅμα καρπὸν ἀρούρης
τίκτοντες καὶ δένδρα καὶ ἄμπελον, αὐτὰρ ἐλαίην.
οὗτός μοι μάστιγα διὰ φρενὸς ἤλασεν εἴσω
ἀνθρώποις, ὅσα νῦν τε καὶ ὁππόσα ἔσσεται αὖτις
ἐκ πρώτης γενεῆς ἄχρις ἑνδεκάτην ἀφικέσθαι,
ἀτρεκέως καταλέξαι· ἅπαντα γὰρ αὐτὸς ἐλέγξει
ἐξανύων. σὺ δὲ πάντα, λεώς, ὑπάκουε Σιβύλλῃ
ἐξ ὁσίου στόματος φωνὴν προχεούσῃ ἀληθῆ.
ὄλβιοι ἀνθρώπων κεῖνοι κατὰ γαῖαν ἔσονται,
ὅσσοι δὴ στέρξουσι μέγαν θεὸν εὐλογέοντες
πρὶν πιέειν φαγέειν τε πεποιθότες εὐσεβίῃσιν·
οἳ νηοὺς μὲν ἅπαντας ἀπαρνήσονται ἰδόντες
καὶ βωμούς, εἰκαῖα λίθων ἀφιδρύματα κωφῶν,
[καὶ λίθινα ξόανα καὶ ἀγάλματα χειροποίητα]

24—30] 'Iustinus' cohort. ad gentil. c. 16 = vol. II p. 64 Otto³: *καὶ πάλιν ἀλλαχοῦ που οὕτως (λέγει Σίβυλλα)· 24 'ὄλβιοι' — 30 'κῦδος'. ταῦτα μὲν οὖν ἡ Σίβυλλα* 27—30] Clemens Alex. Protrept. IV 62 = vol. I p. 67, 21 — p. 68, 4 Dindorf: *ὄλβιοι μόνοι τοίνυν, ὡς ἔπος εἰπεῖν, ὁμοθυμαδὸν ἐκεῖνοι πάντες κατὰ τὴν Σίβυλλαν· 27 'οἳ ναοὺς' — 30 'τετραπόδων διπόδων πτηνῶν θηρῶν τε φόνοισιν'*

83 *χαλκέους τε χρυσέους τε*] *ipse temptavi, χαλκοῦς τε χρυσοῦς τε Φ, χρυσοῦς τε χαλκοῦς τε Ψ* *ματαίους δὲ*] *ipse temptavi, τε ματαίως Φ, τε ματαίους Ψ, an εἰκαίους?* 84 *τε καὶ*] *scribendum censeo, καὶ Φ Ψ* *χωνευθέντας*] *χωνεύοντες Ψ* 85 *τούτοισι πεποιθότες*] *ipse temptavi, τούτοις omissis ceteris Φ (in P minio adnotatum: λείπει τὸ πλέον τοῦ στίχου), γε πεποιθότες ἐν τοιούτοις Ψ* 86 *καὶ κόπτεται*] *Opsopoeus, κόπτεται (καὶ omisso) Φ Ψ* *αὐλὴ*] *Alexandre, βουλῇ (βουλῆ A) codd.* 87 *Ἡρακλέους*] *an Ἡρακλέος?* *ἄνακτος*] *supplevit Alexandre, desideratur in codd.* 88] *cf. XI 234 καὶ σὲ δ' Ἀλεξάνδρεια, κλυτὴ θρέπτειρα πολήων* *κλυτὴ*] *κλητὴ P* *θρέπτειρα πολήων*] = *XI 302* *πολήων*] *e ll. cc. supplevit Alexandre, deest in Φ Ψ* 89 *οὐ λείψει*] *οὐκ ἀπολείψει Ψ* *οὐ*] *ipse scripsi, τ' (τὲ A) οὐ Φ, τοῦ Ψ* *λοιμός*] *supplendum esse vidit Alexandre (qui clausulam καὶ σὺ δίκας γε addere voluit)* 90 *τῆς*] *Ψ, om. Φ, an σῆς?* *δώσεις*] *Alexandre, δ' ὥς (vel ὡς) codd.* *ὅσα—ἔρεξας*] *cf. V 192 ὅσσα τὸ πρόσθεν ἔρεξας* *ὅσα*] *ὅσσα γε Ψ* *ἔρεξας*] *ἔρρεξας Ψ* 91] *lacunam post hunc statui;* *νόστιμον ἦμαρ*] = *V 519* 92] *post hunc in P lacuna ut videtur trium versuum indicatur, ter enim in margine adscriptum invenitur λείπει; in A Ψ spatium vacuum non est* 93—111] *leguntur (excepto v. 97, aliter conformatis et in unum contractis 98 sq.) in Excerpto Sibyllino, quod invenitur in cod. Parisino 1043 (fol. 76 verso) cum altero versus IV 179—190 continente (cf. ad h. l.); post sequitur interpretatio hunc in modum scripta: ἑρμηνεία· ἰδοὺ εἰς αὐτὴν τὸν Πέρσην λέγει ἔρχεσθαι σὺν τῷ ἀντιχρίστῳ ἕως δυσμῶν μολύνοντα αἵματι καὶ νεκροῖς τὸν ἀέρα καὶ τὰ θυσιαστήρια σὺν πλήθει ψαμμαθίδων ὅμοιον ψάμμου. καὶ λέγει πᾶσαν τὴν γῆν θρηνεῖν τὴν βασιλείαν τῶν Ῥωμαίων καὶ μετὰ τὸ ὑποστρέψαι τὸν Πέρσην ἀπὸ δυσμῶν (ἀποδυσμῶν cod.) καὶ ἔρχεσθαι εἰς τὴν ἁγίαν πόλιν σὺν τῷ ἀντιχρίστῳ καὶ μετὰ τὸ πᾶσαν τὴν γῆν ἐρημῶσαι κἀκεῖ καταργεῖσθαι ὑπὸ τῆς παρουσίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. λέγει γὰρ προνομὴν ποιῆσαι εἰς τὴν ἁγίαν πόλιν τὸν κύριον (τοῦ κυρίου Alexandre) εἰς κρίσιν δικαίαν ('suppl. ποιῆσαι seu ποιήσειν τὸν κύριον' Alexandre) ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ* 93] *deest in codd. Sibyll., servatus est in Excerpt. Paris.* *γὰρ Πέρσης*] *Excerpt. Paris. (δ' ἠέριος Alexandre perperam legerat)* *νάπος*] *ipse temptavi, δἄπ (sic) Excerpt. Paris., δάπος (= δάπεδον) Alexandre coll. V 343* 94] *sic conformari voluit Volkmann: κἄνθρωπος σὴν πᾶσαν ὀλεῖ γαῖαν κακότεχνος* *καὶ—ὀλεῖ*] *cf. V 219* *καὶ—ὀλεῖ*] *ipse scripsi, καὶ σὴν πᾶσαν ὀλεῖ γαῖαν Φ Ψ, καὶ γῆν ὀλεῖται πᾶσαν Excerpt. Paris., καὶ σὴν πᾶσαν ὀλεῖ γαῖαν Castalio* *ἅμα—κακοτέχνους*] *ipse temptavi, καὶ ἀνθρώπους κακοτέχνους Ψ, ἀνθρώπους κακοτέχνους (om. καὶ) Φ, ἅμ' ἀνδρῶν κακοτέχνω Excerpt. Paris.* 95 . . . *ἱεροῖς παρὰ βωμοῖς*] *ipse erui e corruptela Excerpt. Paris.: παρεῖ ἔρει καὶ παρὰ βωμοῖς, quam interpres falso explicare videtur 'μολύνοντα αἵματι*

V βαρβαρόφρων σθεναρὸς πολυαίματος ἄφρονα λυσσῶν,
παμπληθεὶ ψαμαθηδὸν ἐπαιγίζων ἐς ὄλεθρον.
καὶ τότ' ἔσῃ, πόλεων πολύολβος, πολλὰ καμοῦσα.
κλαύσεται Ἀσὶς ὅλη δώρων χάριν, οἷς ἀπὸ σεῖο
στεψαμένη κεφαλὴν ἐχάρη, πίπτουσ' ἐπὶ γαίης.
αὐτὸς δ' ὡς Περσῶν ἔλαχεν γαῖαν πολεμίξει
κτείνας τ' ἄνδρα ἕκαστον ὅλον βίον ἐξαλαπάξει,
ὥς τε μένειν μοῖραν τριτάτην δειλοῖσι βροτοῖσιν.
αὐτὸς δ' ἐκ δυσμῶν ἐσπτήσεται ἅλματι κούφῳ
σύμπασαν γαῖαν πολιορκῶν καὶ κατερημῶν.
ἀλλ' ὅτ' ἂν ὕψος ἔχῃ κρατερὸν καὶ θάρβος ἀηδές,
ἥξει καὶ μακάρων ἐθέλων πόλιν ἐξαλαπάξαι.
καί κέν τις θεόθεν βασιλεὺς πεμφθεὶς ἐπὶ τοῦτον
πάντας ὀλεῖ βασιλεῖς μεγάλους καὶ φῶτας ἀρίστους.
εἶθ' οὕτως κρίσις ἔσται ὑπ' ἀφθίτου ἀνθρώποισιν.

107—110] Lactantius div. inst. VII 18, 5 sq. = vol. I p. 642, 3 — p. 643, 4 Brandt: Sibyllae quoque non aliter fore ostendunt quam ut dei filius a summo patre mittatur, qui et iustos liberet de manibus inpiorum et iniustos cum tyrannis saevientibus deleat. e quibus una sic tradit: 107 'ἥξει' — 110 'ἀνθρώποισιν'

καὶ νεκροῖσι τὸν ἀέρα καὶ τὰ θυσιαστήρια'; παρ' ἐκπάγλοισί τε βωμοῖς Φ, παρ' ἐκπάγλοις (παρεκπάγλοις F) τε βωμοῖς Ψ 96 *σθεναρὸς] στεναρὸς A πολυαίματος] Excerpt. Paris. (cf. V 462), πολυδείματος Φ Ψ* 97 *παμπληθεὶ] παμπληθὴ Φ, συνπλήθει Excerpt. Paris. ψαμαθηδὸν] A, ψαμμαθηδὸν codd. cett. Sibyll., ψαμμαθιδῶν Excerpt. Paris. ἐπαιγίζων ἐς ὄλεθρον] ipse temptavi, ἐμπαίζων σὸν ὄλεθρον Excerpt. Paris., ἀπαίξων σὸν ὄλεθρον Φ Ψ, ἐπαΐξων σὸν ὄλεθρον Volkmann, ἀπάξων ἐς σὸν ὄλεθρον dubitans Alexandre* 98] *om. Excerpt. Paris. πόλεων πολύολβος] πολύολβε πόλεως Ψ, an πολύολβε πολήων?* 98 *sq.] horum loco habent Excerpta Paris.: πᾶσα δὲ χθὼν θρηνήσει. βασιλείαν πολύκλυστον* 99 *Ἀσὶς] ἀσσὶς Φ Ψ χάριν, οἷς] ipse temptavi, χαρίνων Φ, χαοίνων Ψ, χάριν, ὧν Alexandre ἐχάρη] Alexandre, ἀχαρῆ Φ Ψ* 101 *αὐτὸς δ'] P, αὐτὸς δὲ Excerpt. Paris., αὐτός θ' codd. cett. ὡς—πολεμίξει] Excerpt. Paris., ὃς Περσῶν λάχεν Αἴγυπτον πτολεμίξαι Φ Ψ (unde πτολεμίξει Opsopoeus scripserat)* 102 *κτείνας τ'] Excerpt. Paris., κτείνας Φ Ψ ἐξαλαπάξει] ἐξαπαλλάξει Excerpt. Paris.* 102] *post hunc in codd. Sibyll. intrusus est versus, qui infra legitur (108), ex parte corruptus καὶ κισσὶς θεόθεν βασιλεὺς πεμφθεὶς ἐπὶ τοῦτον* 103] *cf. III 544 πάντων δ' ἀνθρώπων τὸ τρίτον μέρος ἔσσεται αὖτις μοῖραν] μύραν Excerpt. Paris. δειλοῖσι] δειλοῖς ἐν Ψ* 104 *ἐσπτήσεται] εἰσπτήσεται (εἰσπτίσεται L) Φ Ψ, ἐκστήσεται Excerpt. Paris. ἅλματι] αἵματι P, ὅρματι Excerpt. Paris.* 105 *σύμπασαν γαῖαν] an γαῖαν σύμπασαν transponendum? καὶ κατερημῶν] Excerpt. Paris., πᾶσαν ἐρημῶν Φ Ψ* 106] *in hoc versu desinit R reliquis a librario neglectis (inanes sunt paginae ceterae) ἔχῃ] ἔχοι Excerpt. Paris.* 107 *καὶ] Excerpt. Paris. Lactantius, δ' αὖ Φ Ψ μακάρων] μακρο Excerpt. Paris. ἐθέλων πόλιν] πόλιν ἐθέλων Ψ ἐξαλαπάξαι] ἐξαλαπάξας Excerpt. Paris.* 108] *cf. quae ad 102 adnotavi καί κέν τις] Lactantius, κἀκεῖ (κἀκεῖ A) τις Excerpt. Paris. Φ Ψ hoc loco, καὶ κισσὶς Φ Ψ in versu post 102 intruso βασιλεὺς—τοῦτον] sic habent Φ Ψ in versu supra interpolato, Excerpt. Paris. Lactantius, σθεναρὸς (e V 96 intrusum) βασιλεὺς ἐκπεμφθεὶς Φ Ψ hoc loco* 109] *cf. V 380 πάντας ὁμοῦ τ' ὀλέσει βασιλεῖς καὶ φῶτας ἀρίστους μεγάλους] om. Lactanti cod. B φῶτας ἀρίστους] = III 665 V 380, cf. V 144 φῶτες ἄριστοι φῶτας] Lactantius (ΦΟΤΑΣ cod. B, ΡΩΤΑС codd. S P Lactanti), πάντας Excerpt. Paris., ἄνδρας Φ Ψ* 110 *οὕτως] οὕτω Alexandre κρίσις—ἀφθίτου] Lactantius (ΑΦΘΙΘΙΤΩΝ cod. P Lactanti), κρίσις ἔσται ἀπαμφοῖτον Excerpt. Paris., τέλος ἔσται ἄφθιτον Φ Ψ (unde olim Alexandre τέλος ἔσσεται ἄφθιτον coniecerat, qui postea ἔσται τέλος ἄφθιτον suspicatus est) ἔσται] an ἔσσεθ'?*

V αἲ αἴ σοι, κραδίη δειλή, τί με ταῦτ' ἐρεθίζεις
δηλοῦν Αἰγύπτου πολυκοιρανίην ἀλεγεινήν;
βαῖνε πρὸς ἀντολίην, Περσῶν γενεὰς ἀνοήτων,
καὶ δήλου τοῖσιν τὸ παρὸν τό τε μέλλον ἔσεσθαι.
Εὐφρήτου ποταμοῦ ῥεῖθρον κατακλυσμὸν ἐποίσει
καὶ Πέρσας ὀλέσει καὶ Ἴβηρας καὶ Βαβυλῶνας
Μασσαγέτας τε φιλοπτολέμους τόξοισί τε πιστούς.
Ἀσὶς ὅλη πυρίφλεκτος ἕως νήσων σελαγήσει.
Πέργαμος ἡ τὸ πάλαι σεμνὴ βαθρηδὸν ὀλεῖται
καὶ Πιτάνη πανέρημος ἐν ἀνθρώποισι φανεῖται.
Λέσβος ὅλη δύσει βαθὺν ἐς βυθόν, ὥς τ' ἀπολέσθαι.
Σμύρνα κατὰ κρημνῶν εἰλισσομένη κατακλαύσει,
ἡ τὸ πάλαι σεμνὴ καὶ ἐπώνυμος ἐξαπολεῖται.
Βιθυνοὶ κλαύσουσιν ἑὴν χθόνα τεφρωθεῖσαν
καὶ Συρίην μεγάλην καὶ Φοινίκην πολύφυλον.
αἲ αἴ σοι, Λυκίη, ὅσα σοι κακὰ μηχανάαται
πόντος ἀπ' αὐτομάτου ἐπιβὰς χώρης ἀλεγεινῆς,
ὃς κλύσσει σεισμῷ τε κακῷ καὶ νάμασι πικροῖς
τὴν Λυκίης ἄμυρον καὶ τὴν μυρίπνουν ποτὲ χέρσον.
ἔσται καὶ Φρυγίῃ δεινὸς χόλος εἵνεκα λύπης,
ἧς χάριν ἡ Διὸς ἦλθε Ῥέη κἀκεῖ προσέμεινεν.
πόντος Κενταύρων γενεὴν καὶ βάρβαρον ἔθνος

111 αἲ αἴ] αἴ αἴ Excerpt. Paris. κραδίη] καρδίοι Excerpta Paris., quae hoc versu clauduntur 112 δηλοῦν] δηλοῦσ' Ψ 113 ἀντολίην] ἀνατολίην A ἀνοήτων] scripsi, ἀνοήτους codd. 114 τοῖσιν—ἔσεσθαι] cf. I 3 ὁππόσα πρὶν γέγονεν, ὅσα δ' ἐστίν, ὁπόσσα δὲ μέλλει | ἔσσεσθαι IV 19 ὅσα νῦν τε καὶ ὁππόσα ἔσσεται αὖτις τοῖσιν τὸ παρὸν] τοῖσιν παρὸν P, τοῖσι τὸ παρὸν A, τί σοι τὸ παρὸν Ψ τό—ἔσεσθαι] Castalio, τὸ μέλλον ποτ' ἔσεσθαι P, μέλλον πότ' ἔσεσθαι codd. cett. 115 Εὐφρήτου] εὐφράτου Ψ ἐποίσει] ποιήσει Ψ 116] cf. XIII 33 Ἰνδοί τ' Ἀρμένιοί τ' Ἄραβες Πέρσαι Βαβυλῶνες 117 Μασσαγέτας τε φιλοπτολέμους] cf. XIV 176 Μασσαγέτας σκολιούς Μασσαγέτας] μασαγέτας A τε] τε καὶ Ψ τόξοισί τε πιστούς] Meineke, τόξοισί τε πάντας Φ Ψ, τόξοισί τ' ἐπαρικέας (vel τ' ἐπαρτεῖς) Ludwich, τόξοις μεμαῶτας Alexandre 118 Ἀσὶς] ἀσσὶς codd. σελαγήσει] Meineke, σταλαγήσει Φ Ψ 119 Πέργαμος] πέρμαγος P ἡ—ὀλεῖται] cf. V 123 σεμνὴ] σεμνὴ καὶ ἐπώνυμος (e v. 123 huc delatum) Φ βαθρηδὸν] temptavit Alexandre, βοτρυδὸν (βοτρυσὶ B, βοτριδὸν L) Φ Ψ, βαθμηδὸν ipse suspicatus sum 121 βαθὺν ἐς βυθόν] βαθὺν εἰς βύθον Φ, βυθὸν εἰς βαθύν Ψ 122 κρημνῶν] κρυμνῶν P εἰλισσομένη] εἰλισσομένη (ἑλισσομένη F) ποτὲ Ψ κατακλαύσει] κατακαύσει P 123] cf. V 119 ἡ] an καὶ? 124] cf. V 315 εἶθ' ὅτ' ἂν ἀλάξωσιν ἑὴν χθόνα τεφρωθεῖσαν Βιθυνοὶ] A, βιθύνιοι codd. cett. ἑὴν] κατὰ Ψ 125 Φοινίκην] φοινικίην Ψ πολύφυλον] Dausqueius, πολύφυιον Φ Ψ 126 αἲ αἴ] αἴ αἴ P κακὰ μηχανάαται] cf. V 172 τί δὲ μηχανάαται μηχανάαται] Struve, cf. Hesiodi Oper. 241, μηχανᾶται Φ Ψ πόντος ἀπ' αὐτομάτου] Canter (adnuentibus Opsopoeo et Struvio), πάντας ἐπ' αὐτὸ μίτους (αὐτομίτους A) Φ. πάντας ἐπ' αὐτομάτους Ψ χώρης] χώρας Ψ 128 ὃς κλύσσει] ipse temptavi coll. V 58, ὡς κλύσσαι Struve, ὡς κλαῦσαι Φ. ὥστε κλαῦσαι Ψ 129 ἄμυρον . . . μυρίπνουν] ἄπυρον . . . πυρίπνουν suspicatus est Struve, sed cf. IV 109, ad Myra enim Lyciae pertinere videtur versus 130 sq.] primitus post III 201 positos fuisse suspicatus est Ewald 130 ἔσται καὶ] ἔσται γὰρ καὶ Ψ εἵνεκα] A, ἕνεκα codd. cett λύπης] λύσσης Struve 131 Ῥέη] om. B superscripto m. recentiore Ἥρη 132 πόντος] Alexandre, πόντον Φ Ψ Κενταύρων] ipse temptavi, ὀλεῖ Ταύρων Φ Ψ

V ἐξολέσας Λαπιθῶν δάπεδον κατὰ γῆς ἀπορήξει.
Θεσσαλίην χώρην ἀπολεῖ ποταμὸς βαθυδίνης
Πηνειὸς βαθύρους μάρψας θνητοὺς ἀπὸ γαίης.
Ἠριδανὸς† φάσκων θηρῶν μορφάς† ποτε γεννᾶν.
Ἑλλάδα τὴν τριτάλαιναν ἀναιάξουσι ποιηταί,
ἡνίκ' ἀπ' Ἰταλίης ἰσθμοῦ πλήξειε τένοντα
τῆς μεγάλης Ῥώμης βασιλεὺς μέγας, ἰσόθεος φώς,
ὅν, φασ', αὐτὸς Ζεύς τ' ἔτεκεν ἰδὲ πότνια Ἥρη·
ὅς τις παμμούσῳ φθόγγῳ μελιηδέας ὕμνους
θεατροκοπῶν ἀπολεῖ πολλοὺς σὺν μητρὶ ταλαίνῃ.
φεύξεται ἐκ Βαβυλῶνος ἄναξ φοβερὸς καὶ ἀναιδής,
ὅν πάντες στυγέουσι βροτοὶ καὶ φῶτες ἄριστοι·
ὤλεσε γὰρ πολλοὺς καὶ γαστέρι χεῖρας ἐφῆκεν,
εἰς ἀλόχους ἥμαρτε καὶ ἐκ μιαρῶν ἐτέτυκτο.
ἥξει δ' ἐς Μήδων καὶ Περσῶν παμβασιλῆας,
πρώτους οὓς ἐπόθησε καὶ οἷς κλέος ἐγκατέθηκεν
φωλεύων μετὰ τῶνδε κακῶν εἰς ἔθνος ἀηδές·
καὶ ναὸν θεότευκτον ἕλεν καὶ ἔφλεξε πολίτας
λαούς τ' εἰσανιόντας, ὅσους ὕμνησα δικαίως·
τούτου γὰρ προφανέντος ὅλη κτίσις ἐξετινάχθη
καὶ βασιλῆες ὄλοντο, καὶ ἐν τοῖσιν μένεν ἀρχή,

150 sq.] Pseudolactantius de mort. persecut. 2 = vol. II p. 249 Fritzsche: ut erat exsecrabilis ac nocens tyrannus *(Nero)*, prosilivit ad excidendum caeleste templum delendamque iustitiam et primus omnium persecutus dei servos

133 ἐξολέσας Λαπιθῶν] *supplevi*, καὶ Λαπίθας Φ Ψ; ἐξολέσας *in* ὀλεῖ *corruptum irrepsisse videtur in versum 132*; καὶ Λαπίθας ἰδὲ Κενταύρους *(om.* δάπεδον*) Alexandre* κατὰ γῆς] *Friedlieb*, κατὰ γῆν Φ Ψ ἀπορήξει] *ipse scripsi*, ἐναρήξει *codd. praeter A. qui* ἐναρίξει *habet* 134 χώρην] χώραν Ψ ποταμὸς βαθυδίνης] *cf. V 372* ποταμῶν βαθυδινῶν 135 Πηνειὸς] πτηνειὸς *P* βαθύρους] βαθύρρους Ψ μάρψας θνητοὺς] *ipse temptavi*, μορφὰς θηρῶν Φ Ψ. μέροπας *Castalio*, σύρων *Alexandre coniecerunt* 136 Ἠριδανὸς] *quae in codd. secuntur foede partim ex versu priore corrupta sunt:* φάσκων *(*χάσκων *legendum?)* θηρῶν *(*θηρὸς Ψ*)* μορφάς ποτε γενναν *(*γεννᾶν *A)* 137 ἀναιάξουσι] *Alexandre e V 312*, ἀνηίξουσι Φ. ἀναίξουσι Ψ 138 πλήξειε] πλήξεις *B* 139 βασιλεὺς] τελεώς Ψ ἰσόθεος] ἰσσόθεος *(*ἰσ^σ^όθεος *A)* Φ 140 ὅν, φασ'] *ipse dedi*, ὅν φασὶν *A S B*, ὅν *(om.* φασὶν*) P*, βασιλέα ὅν φασιν Ψ αὐτὸς Ζεὺς] *P B S*. αὐτὸς ὁ Ζεὺς *A*, ὁ Ζεὺς Ψ τ' ἔτεκεν ἰδὲ] *ipse correxi*, τέκεν ἠδὲ *(*ἡ δὲ *P)* Φ. ἔτεκε καὶ Ψ. τέκεν ἠδ' ἡ *Opsopoeus* Ἥρη] ἥρα Ψ 142 θεατροκοπῶν] θεατροσκόπων Ψ σὺν μητρὶ—145 γὰρ πολλοὺς] *om. A, versu 142 e duobus hemistichiis librarii incuria contaminato* 144 βροτοὶ] βροτοὶ ἄλλοι Ψ φῶτες ἄριστοι] *cf. V 109, 380* φῶτας ἀρίστους φῶτες] *ipse scripsi*, πάντες Φ Ψ. *cf. ll. cc. et Hom.* Σ 230 145 ἐφῆκεν] *Meineke*, ἔθηκεν Φ Ψ 146 μιαρῶν] *Castalio*, μιηρῶν *F*, μιχρῶν *codd. cett.* ἐς—παμβασιλῆας] *ipse correxi*, εἰς Μήδων καὶ Περσῶν πρὸς βασιλῆας Φ Ψ, εἰς Μήδους καὶ Περσῶν πρὸς βασιλῆας *Alexandre* 150 καὶ] *Castalio*, εἰς Φ Ψ, ὃς *Alexandre* ἕλεν] ἔλεν *P*, εἷλε Ψ ἔφλεξε] ἔφλεξεν *P* 151 λαούς τ'] τ' *addidi*, ναόνδ' *Alexandre* εἰσανιόντας] εἰς ἀνιόντας Ψ ὕμνησα] *Alexandre*, ὕμνησε Φ Ψ 152 προφανέντος] *Alexandre et Volkmann (cf. XIII 90 al.)*, φανέντος Φ Ψ ὅλη] *Alexandre*, ἡ Φ Ψ ἐξετινάχθη] ἐξετινέχθη *A* 153 βασιλῆες ὄλοντο] *ipse correxi*. βασιλεῖς ὤλοντο Φ Ψ τοῖσιν μένεν] Φ. τοῖσι μεῖνεν Ψ

V ἐξόλεσαν μεγάλην τε πόλιν λαόν τε δίκαιον.
ἀλλ' ὅτ' ἂν ἐκ τετράτου ἔτεος λάμψῃ μέγας ἀστήρ,
ὃς πᾶσαν γαῖαν καθελεῖ μόνος εἵνεκα τιμῆς,
ἣν τὸ πρῶτον ἔθηκε Ποσειδάωνι ἄνακτι·
ἥξει δ' οὐρανόθεν ἀστὴρ μέγας εἰς ἅλα δεινὴν
καὶ φλέξει πόντον τε βαθὺν καὐτὴν Βαβυλῶνα
Ἰταλίης γαῖάν θ', ἧς εἵνεκα πολλοὶ ὄλοντο
Ἑβραίων ἅγιοι πιστοὶ καὶ λαὸς ἀληθής.
ἔσσεαι ἐν θνητοῖσι κακοῖς κακὰ μοχθήσασα,
ἀλλὰ μενεῖς πανέρημος ὅλους αἰῶνας ἐπ' αὐτῆς
[ἔσσεται, ἀλλὰ μενεῖ εἰς αἰῶνας πανέρημος,]
σὸν στυγέουσ' ἔδαφος, ὅτι φαρμακίην ἐπόθησας,
μοιχεῖαι παρὰ σοὶ καὶ παίδων μίξις ἄθεσμος,
θηλυγενὴς ἄδικός τε, κακὴ πόλι, δύσμορε πασῶν.
αἲ αἲ πάντ' ἀκάθαρτε πόλι Λατινίδος αἴης,
μαινὰς ἐχιδνοχαρής, χήρη καθεδῇ ὑπὲρ ὄχθας
καὶ ποταμὸς Τίβερίς σε κλαύσεται, ἣν παράκοιτιν,
ἥ τε μιαιφόνον ἦτορ ἔχεις, ἀσεβῆ δέ τε θυμόν.
οὐκ ἔγνως, τί θεὸς δύναται, τί δὲ μηχανάαται;

159—161] Lactantius div. inst. VII 15, 18 = vol. I p. 634, 12—15 Brandt: Sibyllae tamen aperte interituram esse Romam (= *Βαβυλῶνα*) locuntur et quidem indicio dei, quod nomen eius habuerit invisum et inimica institiae alumnum veritatis populum trucidarit   165 sq.] Clemens Alex. Paedag. II 10, 99 = vol. I p. 297, 19—22 Dindorf: *καὶ μὴν καὶ ἡ παρ' ἡμῖν ποιητικὴ ὀνειδίζουσά πως γράφει·* 165 '*μοιχεῖαι*' — 166 '*κακὴ πόλι, πάντ' ἀκάθαρτε*'

154 *ἐξόλεσαν*] *Alexandre, ἐς δ' ὄλεσαν A, ἐς δ' ὤλεσαν codd. cett.*   155 *τετράτου*] *τετάρτου P Ψ*   *λάμψῃ—ἀστήρ*] *cf. II 35 λάμψει γὰρ στεφάνῳ λαμπρῷ παρομοίιος ἀστήρ*   156 *μόνος*] *om. Ψ*   *εἵνεκα τιμῆς*] = *XIV 188, 229*   156] *potest hic versus etiam sic conformari: ἣν τὰ πρῶτ' ἐδάσαντο Ποσειδάωνι ἄνακτι*   *ἣν τὸ*] *ipse scripsi, ἥν τοι Opsopoeus, αὐτοὶ Φ Ψ*   *πρῶτον—ἄνακτι*] *ipse temptavi, πρῶτον ἔθηκάν (ἔθεικάν P) τ' εἰναλίῳ Ποσειδῶνι Φ Ψ (εἰναλίῳ glossema est)*   158 *οὐρανόθεν*] *Ψ, οὐρανόθεν τ' Φ*   *εἰς ἅλα δεινήν*] = *V 294*   *δεινήν*] *δῖαν primitus scriptum fuisse veri simile est*   159 *πόντον—καὐτήν*] *ipse temptavi, πόντον βαθὺν αὐτήν τε Φ, πόντον βαθὺν καὶ αὐτὴν Ψ*   160 *Ἰταλίης*] *Ἰταλίην Ψ*   *θ', ἧς*] *Opsopoeus, τ' ἧς A, τῆσ P, ἧς Ψ*   *εἵνεκα*] *ἕνεκα A Ψ*   161 *λαὸς*] *ipse erui ex Lactantiano* 'alumnum veritatis populum', *ναὸς Φ Ψ*   162 *ἔσσεαι*] *ἔσσειαι Ψ*   *θνητοῖσι*] *θνητοῖς F*   163 *μενεῖς*] *Ψ, μένεις Φ*   164] *versus spurius*   *ἔσσεται*] *ἔσεαι A, ἔσσεαι Alexandre*   *μενεῖ*] *Φ Ψ, μενεῖς Alexandre*   *αἰῶνας*] *αἰῶνα L*   165 *σὸν*] *ὃν Ψ*   *ἔδαφος*] *ἔδαφός γ' Ψ*   166] *cf. V 430 οὐδὲ γαμοκλοπίαι καὶ παίδων Κύπρις ἄθεσμος III 764 μοιχείας πεφύλαξο καὶ ἄρσενος ἄκριτον εὐνήν IV 33 sq. οὐδ' ἄρ' ἐπ' ἀλλοτρίῃ κοίτῃ πόθον αἰσχρὸν ἔχοντες | οὐδέ τ' ἐπ' ἄρσενος ὕβριν ἀπεχθέα τε στυγερήν τε*   *μοιχεῖαι*] *μοιχεία Ψ*   *καὶ παίδων*] *τε καὶ ἀνδρῶν Clemens*   *μίξις ἄθεσμος*] *μίξεις ἄθεσμοι codd. Clementis, quod Sylburg ex Orac. Sibyll. correxit*   167 *δύσμορε πασῶν*] *πάντ' ἀκάθαρτε Clemens e v. 167, quem ab illo lectum fuisse inde apparet*   169 *καθεδῇ ὑπὲρ*] *Struve (sed καθεδεῖ, quod mutavit Alexandre), καθεδεῖο παρ' Φ, καθεδεῖς παρ' Ψ*   170 *Τίβερις*] *τίμερις F*   *κλαύσεται, ἣν*] *Alexandre, κλαύσει καὶ σὴν Φ Ψ, κλαύσει ἑὴν Castalio*   171 *ἥ τε*] *Castalio, οὔτε Φ Ψ*   *μιαιφόνον*] *μιέφονον L*   172 *τί δὲ μηχανάαται*] *cf. V 126 κακὰ μηχανάαται*   *μηχανάαται*] *Φ, μηχανᾶται Ψ*

V ἀλλ' ἔλεγες, 'μόνη εἰμί, καὶ οὐδείς μ' ἐξαλαπάξει.'
νῦν δέ σε καὶ σοὺς πάντας ὀλεῖ θεὸς αἰὲν ὑπάρχων,
κοὐκ ἔτι σου σημεῖον ἔτ' ἔσσεται ἐν χθονὶ κείνῃ,
ὡς τὸ πάλαι, ὅτε σὰς ὁ μέγας θεὸς εὕρατο τιμάς.
μεῖνον, ἄθεσμε, μόνη, πυρὶ δὲ φλεγέθοντι μιγεῖσα
ταρτάρεον οἴκησον ἐν Ἅιδου χῶρον ἄθεσμον.
νῦν δὲ πάλιν, Αἴγυπτε, τεὴν ὀλοφύρομαι ἄτην·
Μέμφι, πόνων ἀρχηγέ, ἔσῃ πλησθεῖσα θανόντων·
ἐν σοὶ πυραμίδες φωνὴν φθέγξονται ἀναιδῆ.
Πυθών, ἡ τὸ πάλαι δίπολις κληθεῖσα δικαίως,
αἰῶσιν σίγησον, ὅπως παύσῃ κακότητος.
ὕβρι κακῶν θησαυρὲ πόνων, μαινὰς πολύθρηνε
αἰνοπαθὴς πολύδακρυ, μενεῖς χήρη διὰ παντός.
πουλυετὴς ἐγένου σὺ μόνη κόσμοιο κρατοῦσα·
ἀλλ' ὁπότ' ἂν Βάρκη τὸ κυπάσσιον ἀμφιβάληται
λευκὸν ἐπὶ ῥυπαρῷ, μήτ' εἴην μήτε γενοίμην.
ὦ Θήβη, ποῦ σοι τὸ μέγα σθένος; ἄγριος ἀνὴρ
ἐξολέσει λαόν· σὺ δὲ εἵματα φαιὰ λαβοῦσα
θρηνήσεις, δύστηνε, μόνη, καὶ πάντ' ἀποτίσεις,
ὅσσα τὸ πρόσθεν ἔρεξας ἀναιδέα θυμὸν ἔχουσα.
καὶ κοπετὸν ὄψονται ἀθέσμων εἵνεκα ἔργων.
Συήνην δ' ὀλέσειε μέγας φὼς Αἰθιοπήων·

177 *μεῖνον*] *Castalio*, μοῦνον (μόνον A) Φ, μόνη Ψ φλεγέθοντι] φλογέθοντι Ψ 178 ταρτάρεον] Ψ, ταρτάρεόν τ' (ταρτάρεοντ' P) Φ, *an* ταρταρόεντ' *scribendum?* οἴκησον] οἴκησιν L ἐν] *correxi, idque etiam Badtio melius videbatur;* ἐς Φ Ψ 179] *bis scriptus in P* 179] *cf.* V 73 ταῦτα μὲν Αἰγύπτῳ θεὸς ἔννεπεν ἐξαυδῆσαι Αἴγυπτε] αἴγυπτ' B τεὴν] τ' ἐὴν τ' P, ἐήν τ' B, τεήν τ' L 180 Μέμφι πόνων ἀρχηγέ] *cf.* II 115 χρυσὲ κακῶν ἀρχηγέ V 231 ὕβρι κακῶν ἀρχηγέ V 242 κακῶν ἀρχηγὲ μεγίστων ἀρχηγέ, ἔσῃ] *ipse dedi,* ἀρχηγέ σέ τε (σύ τε B m²) Φ, ἀρχηγέ, σύ Ψ, ἀρχηγὸς ἔσῃ *Alexandre* θανόντων] *Alexandre*, τέκοντος Φ Ψ 182 Πυθών] πυθῶν Φ; *an* Θῆβαι (Θήβη) *scribendum est? quam ad urbem si versus pertinet, fortasse poeta adiectivo* δίπολις *etiam nomen alterum Thebarum* Δίπολις (= Διόσπολις) *significat; cf. quae monuit Letronne, Journal des Savants 1841 p. 694* κληθεῖσα] Ψ, κτησθεῖσα P, κισθεῖσα B, κτηθεῖσα A 183 αἰῶσιν] B, αἰῶσι *codd. cett.* 184 ὕβρι—πόνων] *cf.* V 231 ὕβρι κακῶν ἀρχηγέ πολύθρηνε] πολύθρυνε P 185 αἰνοπαθὴς] Φ Ψ, *an* αἰνοπαθές? πολύδακρυ, μενεῖς] Ψ, πολυδακρυμανὴς Φ χήρη] *olim suspicatus est Alexandre,* χήρα Φ, χώρα Ψ 186] *cf.* V 435 πουλυετὴς βασίλεια, μόνη κόσμοιο κρατοῦσα πουλυετὴς] πολυέτης Ψ 187 ὁπότ' ἂν] *ipse correxi,* ὅταν ἡ Φ Ψ κυπάσσιον] *Struve*, κυπάστιον Φ, κυπάθιον Ψ 188 γενοίμην] *ipse dedi,* γενοίμαν Φ Ψ 189 Θήβη] *Castalio*, θῆβαι Ψ (*sed cf.* VII 115), θῆ· καὶ (θῆ, καὶ A) Φ ποῦ σοι] = V 67 VIII 44, 79 ποῦ σοι] *ipse correxi ex ll. cc.,* ποῦ σον Φ F, ποῖον τὸ L 190 ἐξολέσει] ἐξολέσῃ B λαβοῦσα] F *in textu,* βαλοῦσα *in margine,* βαλοῦσα *codd. cett.* 191—227 *incl.*] *om.* A *nullo spatio intermisso* 191 καὶ πάντ' ἀποτίσεις] = XI 50, 286, *cf.* VIII 119 XI 62 πάντ' ἀποτίσεις XII 227 πάντ' ἀποτίσει 192] *cf.* XI 63 ὅσσα πάρος πεποίηκας ἀναιδέα θυμὸν ἔχουσα ἔρεξας] ἔρρεξας F ἀναιδέα θυμὸν ἔχουσα] *ipse correxi et huc transposui e clausula versus sequentis, ubi* Φ Ψ ἀναιδέα θυμὸν ἔχουσαν *exhibent, quod Boissonade in* ἀ. θ. ἔχοντες, *Alexandre in* ἀ. θ. ἐχούσης *mutare voluerunt;* ἀθέσμων εἵνεκα ἔργων Φ Ψ, *quod hemistichium locum mutare iussi cum illo (cf. XI 63)* 193 ἀθέσμων—ἔργων] ἀναιδέα θυμὸν ἔχουσαν Φ Ψ, *cf. quae ad versum 192 adnotavi* 194 φὼς] φῶς P Αἰθιοπήων] Ψ, αἰθιόπων τε Φ

V Τεύχειρ' οἰκήσουσι βίῃ μελανόχροες Ἰνδοί.
Πεντάπολι, καύσει σὲ δ' ὅλην μεγαλόσθενος ἀνήρ.
σοῦ, Λιβύη πάγκλαυστε, τίς ἐξηγήσεται ἄτας;
τίς δέ σε, Κυρήνη, μερόπων ἐλεεινὰ δακρύσει;
οὐ παύσῃ θρήνου στυγεροῦ πρὸς καιρὸν ὀλέθρου.
ἔσσεται ἐν Βρετανοῖσι καὶ ἐν Γάλλοις πολυχρύσοις
ὠκεανὸς κελαδῶν πληρούμενος αἵματι πολλῷ·
καὐτοὶ γὰρ κακότητα θεοῦ τέκνοις ἐποίησαν,
ἡνίκα Σιδονίων βασιλεὺς Φοῖνιξ Γαλικανὸν
ἤγαγεν ἐκ Συρίης πλῆθος πολύ· καί σε φονεύσει,
αὐτήν, Ῥαβέννη, καὶ ἐς φόνον ἡγεμονεύσει.
Ἰνδοὶ ὁμοῦ ταρβεῖτε καὶ Αἰθίοπες μεγάθυμοι·
ἡνίκα γὰρ τούτοις τροχὸς ἄξονος Αἰγοκέρωτος
Ταῦρός τ' ἐν Διδύμοις μέσον οὐρανὸν ἀμφιελίξῃ,
Παρθένος εἶτ' ἀναβᾶσα καὶ Ἥλιος ἀμφὶ μετώπῳ
πηξάμενος ζώνην περίπαν πόλον ἡγεμονεύσῃ·
ἔσσεται ἐμπρησμὸς μέγας αἰθέριος κατὰ γαῖαν,
ἄστροις δ' ἐν μαχίμοις καινὴ φύσις, ὥς τ' ἀπολέσθαι

200 sqq.] Procopius de bello Goth. I 24 p. 372 D = vol. II 118, 10 Dindorf: *τῶν γὰρ Σιβύλλης λογίων τὴν διάνοιαν πρὸ τοῦ ἔργου ἐξευρεῖν ἀνθρώπῳ οἶμαι ἀδύνατα εἶναι. αἴτιον δέ, ἅπερ ἐγὼ αὐτίκα δηλώσω ἐκεῖνα ἀναλεξάμενος ἅπαντα, ἡ Σίβυλλα οὐχ ἅπαντα ἑξῆς τὰ πράγματα λέγει οὐδὲ ἁρμονίαν τινὰ ποιουμένη τοῦ λόγου, ἀλλ' ἔπος εἰποῦσα ὅ τι δὴ ἀμφὶ τοῖς Λιβύης κακοῖς ἀπεπήδησεν εὐθὺς ἐς τὰ Περσῶν ἤθη.. ἐνθένδε τε Ῥωμαίων ἐς μνήμην ἐλθοῦσα μεταβιβάζει ἐς τοὺς Ἀσσυρίους τὸν λόγον. καὶ πάλιν ἀμφὶ Ῥωμαίοις μαντευομένη προλέγει τὰ Βρεττανῶν πάθη. ταύτῃ τε ἀδύνατά ἐστιν ἀνθρώπῳ ὁτῳοῦν πρὸ τοῦ ἔργου τῶν Σιβύλλης λόγων ξυνιέναι*

195 *Τεύχειρ' οἰκήσουσι*] *ipse scripsi, τεύχαριν οἰκήσουσι Φ Ψ, Τέντυριν οἰκήσουσι Alexandre βίῃ] βίᾳ Alexandre μελανόχροες] μελανόχροοι olim Volkmann, sed cf. Hom. N 589* 196 *Πεντάπολι] Alexandre, πεντεπόλει Φ Ψ καύσει σὲ δ' ὅλην] ipse temptavi, κλαύσει δὲ σόης Φ, κλαύσει γὰρ σόη Ψ; an Πεντάπολιν κλαύσειε δ' ὅλην scribendum? κλαῦσαί σε ποιεῖ Alexandre* 197 *σοῦ] ipse dedi, ὦ codd. τίς—ἄτας] (τί P) Φ, τίς σὰς ἐξηγήσεται ἄτας Ψ, retento ὦ initio versus τίς ἂς ἐξάσεται ἄτας Meineke* 199 *παύσῃ] παύσει P θρήνου στυγεροῦ] θρηνοῦσα στυγερὸν (στυγηρὸν) Ψ πρὸς καιρὸν ὀλέθρου] ipse correxi, πρὸς καιρὸν ὄλεθρον (ὄλεθρον πρὸς καιρὸν L) codd. (cf. ad XI 35)* 200 *Βρετανοῖσι] ipse temptavi, βρύτεσσι Φ Ψ, vel Βριτεῦσι vel Βριτέεσσι scribendum esse suspicatus est Alexandre; an Βρίττεσσι? Γάλλοις] γάλοις Ψ* 203 *Σιδονίων] scripsi, σιδονίοις Φ Ψ, Σιδόνιος Alexandre Γαλικανὸν] γαλλικανῶν Ψ; malim Γαλατάων* 205 *αὐτήν] ipse dedi, αὕτη Φ Ψ, αὐτή Alexandre; an αὐτός temptandum? καὶ ἐς] ipse scripsi, τε καὶ εἰς Φ Ψ ἡγεμονεύσει] Alexandre, ἡγεμόνευσεν (ἡγεμόνευσε P) Φ Ψ* 206 *ὁμοῦ ταρβεῖτε] ipse emendavi, μὴ ταρβεῖτε Φ Ψ, δὴ ταρβεῖτε Castalio, μὲν ταρβεῖτε olim Alexandre, qui postea μὴ θαρσεῖτε edidit καὶ] om. Ψ*
207 *τούτοις] ipse temptavi, τούτους Φ Ψ Αἰγοκέρωτος] Castalio suspicatus est, αἰγοκερίτης (αἰγοκαιρίτης P) Φ Ψ, αἰγοκεράτης Meineke* 208 *ἀμφιελίξῃ] P, ἀμφιελίξει codd. cett.* 209 *εἶτ' ἀναβᾶσα] ipse temptavi, ἐξαναβᾶσα codd. μετώπῳ] μετόπῳ Ψ περίπαν πόλον] Boissonade, περιπάμπολον (περιπάμπιλον L) Φ Ψ, περὶ τὸν πόλον Volkmann* 211 *ἐμπρησμὸς] ἐμπρισμὸς supra ισ scripto ισ L* 212 *ἄστροις δ' ἐν μαχίμοις] cf. V 514 ἄστρα μάχην ὤδινε ἄστροις] ipse scripsi, ἄστρων Φ Ψ μαχίμοις] μαχήμοις P*

V ἐν πυρὶ καὶ στοναχῇσιν ὅλην γῆν Αἰθιοπήων.
μύρεο καὶ σύ, Κόρινθε, τὸν ἐν σοὶ λυγρὸν ὄλεθρον·
ἡνίκα γὰρ στρεπτοῖσι μίτοις Μοῖραι τριάδελφοι
κλωσάμεναι φεύγοντα δόλῳ ἰσθμοῖο παρ' ἀμφὴν
ἄξουσιν μετέωρον, ἕως ἐσίδωσιν ἅπαντες
τὸν πάλαι ἐκκόψαντα πέτρην πολυήλατι χαλκῷ,
καὶ σὴν γαῖαν ὀλεῖ καὶ κόψει, ὡς προτέθειται.
τούτῳ γάρ τοι δῶκε θεὸς μένος ἐς τὸ ποιῆσαι
οἷά τις οὐ πρότερος τῶν συμπάντων βασιλήων.
πρῶτα μὲν ἐκ τρισσῶν κεφαλῶν σὺν πληγάδι ῥίζας
σχισσάμενος μεγάλως δώσει ἑτέροισι πάσασθαι,
ὥς τε φαγεῖν σάρκας γονέων βασιλῆας ἀνάγνους.
πᾶσι γὰρ ἀνθρώποισι φόνος καὶ δείματα κεῖται
εἵνεκα τῆς μεγάλης πόλεως λαοῦ τε δικαίου
σῳζομένου διὰ παντός, ὃν ἔξοχον εἶχε πρόνοια.
ἄστατε καὶ κακόβουλε, κακαῖς περικείμενε κῆραις,
ἀρχὴ καὶ καμάτοιο καὶ ἀνθρώποις μέγα τέρμα
βλαπτομένης κτίσεως καὶ σῳζομένης πάλι μοίρης,

224] Levit. 26, 23

222 sq.] 'Hippolytus' de Christo et Antichristo 52 = p. 27, 7 sqq. Lagarde: *οὗτος οὖν τοῖς τότε καιροῖς ἀναδειχθεὶς ὑπαρτεῖ καὶ κρατήσας ἐν παρατάξει πολέμου τῶν τριῶν κεράτων ἐκ τῶν δέκα καὶ ἐκριζώσας αὐτά, ὅ περ ἐστὶν Αἰγύπτου καὶ Λιβύων καὶ Αἰθιόπων λαβὼν τὰ σκῦλα καὶ τὰ λάφυρα ὑποταγέντων αὐτῷ καὶ τῶν λοιπῶν κεράτων τῶν περιβλαπτομένων, ἄρξει ὑψοῦσθαι τῇ καρδίᾳ καὶ ἐπαίρεσθαι κατὰ τοῦ θεοῦ πάσης τῆς οἰκουμένης κρατῶν*

213 *στοναχῇσιν—Αἰθιοπήων] στοναχαῖς Ἰνδῶν γῆν Αἰθιόπων τε Castalio e coniectura   στοναχῇσιν ὅλην] ipse scripsi, στοναχαῖσιν ὅλην Φ, στοναχαῖσιν ὀλοὴν Ψ   Αἰθιοπήων] Alexandre (cf. 194), αἰθιόπων τε Φ, αἰθιόπων Ψ*   214 *μύρεο] correxi (cf. V 260, 317, 440), μύρον Φ Ψ   τὸν ἐν σοὶ] suspectum, an σὸν ὄψει?*   216 *ἰσθμοῖο] ἰστίῳ Ψ*   217 *ἄξουσιν] ἄξουσι Ψ, ἄρξουσιν Φ   ἐσίδωσιν ἅπαντες] Alexandre, ἐσίδωσί σε πάντες Φ Ψ*   219 *προτέθειται] προτέθηται P*   220 *τούτῳ] τοῦτο Ψ   δῶκε] Φ Ψ, ἔδωκε maluit Alexandre   μένος] Meineke, μόνος Φ Ψ, μόνῳ Alexandre   ἐς τὸ] Φ Ψ, ὥς τε Alexandre   ποιῆσαι] ποῆσαι F*   222 *σὺν] Φ Ψ, an ἅμα?   πληγάδι] πλαγάδι Ψ (cf. Hesych. πληγάς· δρέπανος)   ῥίζας] Ewald, ῥίζης Φ Ψ, ῥίζαν olim Alexandre*   223 *σχισσάμενος] ipse temptavi, στησάμενος Φ Ψ, σπασσάμενος Alexandre, σπασσάμενοι Ewald   μεγάλως] μεγάλας Ewald, μεγάλων Hilgenfeld   δώσει ἑτέροισι πάσασθαι] ipse scripsi, ἑτέρης δώσεις πάσασθαι Ψ, ἑτέροις δώσει σπάσασθαι Φ, ἑτέροις δώσειε πάσασθαι Alexandre*   224] *cf. V 468 καὶ τότ' ἀθεσμοβόροι μέροπες κατέδουσι γονῆας   βασιλῆας ἀνάγνους] Alexandre, βασιλῆος ἀνάγνου Φ, βασιλῆος ἁγνοῦ Ψ*   226 *τῆς μεγάλης πόλεως] Castalio, τῆς πόλεως τῆς μεγάλης (τε addit B) Φ Ψ*   227 *ἔξοχον] ipse scribendum censui, ἔξοχος Φ Ψ*   228—237] *iterum leguntur post 245 in F L; ex quibus vv. 228—230 F in ima exhibet pagina, L om. 230*   228 *καὶ] om. Ψ   κακαῖς] κακαῖσιν Φ   κῆραις] κῆραις superscripto κέρε habet F in versu infra repetito, κηρσίν Dausqueius hoc loco suspicatus est*   229 sq.] *= V 244 sq.   καὶ καμάτοιο] καὶ om. hic Ψ, habet infra in versu repetito   καμάτοιο] e V 244 correxit Opsopoeus, καμάτοισι Φ Ψ*   230 sq.] *hoc loco desunt in Ψ, leguntur in versibus infra repetitis*   230 *κτίσεως] κρίσεως A   πάλι] πάλιν Ψ (in versu infra scripto)   μοίρης] μοίραις Alexandre*

V ὕβρι κακῶν ἀρχηγὲ καὶ ἀνθρώποις μέγα πῆμα,
τίς σε βροτῶν ἐπόθησε; τίς ἔνδοθεν οὐ χαλέπηνεν;
ἐν σοί τις βασιλεὺς σεμνὸν βίον ὤλεσε ῥιφθείς.
πάντα κακῶς διέθηκας ὅλον τε καλὸν κατέκλυσσας,
καὶ διὰ σοῦ κόσμοιο καλαὶ πτύχες ἠλλάχθησαν.
εἰς ἔριν ἡμετέρην τυχὸν ἄστατα ταῦτα προβάλλου·
πῶς δὲ λέγεις, 'πείσω σε', καὶ 'εἴ τί με μέμφεαι, αὔδα';
ἦν ποτ' ἐν ἀνθρώποις λαμπρὸν σέλας ἠελίοιο
σπειρομένης ἀκτῖνος ὁμοσπόνδοιο προφητῶν·
γλῶσσα μέλι στάζουσα καλὸν πόμα πᾶσι βροτοῖσιν
φαίνετο καὶ προέβαινε καὶ ἡμέρα πᾶσιν ἔτελλεν.
τοῦδ' ἕνεκεν, στενόβουλε κακῶν ἀρχηγὲ μεγίστων,
καὶ ῥαμφὴ καὶ πένθος ἐλεύσεται ἤματι κείνῳ.
ἀρχὴ καὶ καμάτοιο καὶ ἀνθρώποις μέγα τέρμα
βλαπτομένης κτίσεως καὶ σῳζομένης πάλι μοίρης,
κλῦθι πικρῆς φήμης δυσαρασχέτου, ἀνδράσι πῆμα.
ἀλλ' ὁπότ' ἂν γῇ Περσὶς ἀπόσχηται πολέμοιο
λοιμοῦ τε στοναχῆς τ', ἀρθήσεται ἤματι κείνῳ
Ἰουδαίων μακάρων θεῖον γένος οὐρανιώνων,

249] Lactantius div. inst. IV 20, 11 = vol. I p. 366, 8—12 Brandt: domum autem Iuda et Israhel uon utique Iudaeos significat, quos abdicavit, sed nos, qui ab

231—245 *incl.*] *om. A (librario similitudine versuum 230 et 245 decepto)* 231 ὕβρι κακῶν ἀρχηγὲ] *cf. II 115* χρυσὲ κακῶν ἀρχηγέ *V 242* κακῶν ἀρχηγὲ μεγίστων ἀρχηγὲ] *Nauck e ll. cc.*, καὶ πῆμα *Φ Ψ* πῆμα] *Nauck*, τέρμα *Φ Ψ (ex 229)* 232 βροτῶν] *Ψ in versu infra repetito*, βροτός τ' *hoc loco*; βροτὸς *Φ* 232 οὐ] οἱ *P B* χαλέπηνεν] *Alexandre proposuit*, χαλεπήνει *Φ Ψ*, χαλεπαίνει *edidit Alexandre* 233 τις] *Klouček*, τίς *codd.* ῥιφθείς] *B*, ῥιφείς *codd. cett.* 234 διέθηκας] διέλυσας *Ψ* καλὸν] *ipse dedi*, κακὸν *Φ*, κακῶς *Ψ*, *in versu repetito* βροτὸν *Ψ* κατέκλυσσας] κατέκλυσας *Opsopoeus*, κατακλύσας *Φ Ψ* 235 διὰ σοῦ] *suspectum* καλαὶ] πάλαι *olim suspicatus est Alexandre* πτύχες] πτύχαις *P (sic L in versu repet.)* 236 ἄστατα] ἵστατα *L et in versu repet. Ψ* προβάλλου] προυβάλλου *in versu repet. F* 237 εἴ τί με μέμφεαι] *Alexandre*, εἴ τί σε μέμφομαι *codd.* αὔδα] *Alexandre*, αὐδῶ *Φ Ψ* 239 ὁμοσπόνδοιο] ὁμοσπούδοιο *Struve* 240 μέλι στάζουσα] *ipse temptavi*, μὲν σταγέουσα *Φ*. μὲν στυγέουσα *Ψ*, μελισταγέουσα *Alexandre* πόμα πᾶσι] βρῶμα *superscripto manu eadem* πό *(i. e.* πόμα*) omisso* πᾶσι *P* 241 προέβαινε] *ipse scripsi*, προύβαινε *Φ*. πρόβαινε *Ψ* ἡμέρα] *cf. II 13 sq.* 242 ἕνεκεν] ἕνεκα *Ψ* κακῶν ἀρχηγὲ μεγίστων] *cf. V 231* ὕβρι κακῶν ἀρχηγέ 243 ῥαμφὴ] ῥάμφη *Φ*, ῥ' ὀμφὴ *F*, ῥομφὴ *L* 244 *sq.*] = *V 229 sq.* 244 ἀρχὴ] ἀρχὴν *P* 245 σῳζομένης] *e v. 230 correxit Alexandre*, βλαπτομένης *iterum Φ Ψ* πάλι] πάλιν *F* 245] *de versibus post hunc in Ψ iteratis vide ad 228*
246 κλῦθι] κλῆθι *B*, κλῦε *Ψ* πικρῆς] *scripsi*, πικρᾶς *codd.* δυσαρασχέτου] *ipse temptavi*, δυσσηχέος *(*δυσηχέος *superscripto altero σ A) Φ*, δυσηχέος *Ψ*, δῡσηχέος *Alexandre (in Cur. post.) analogia vocis* σῡνεχέως *defendebat, cuius longe alia est ratio*
ἀνδράσι πῆμα] *cf. V 231* ἀνθρώποις μέγα πῆμα 247 γῇ—πολέμοιο] *Nauck*, περσὶς γαῖ' ἀπόσχοιτο πτολέμοιο *(*πολέμου *A) Φ*, περσίης *(unde* Περσὶς γῇ *Alexandre)* ἀπόσχοιτο πολέμοιο *Ψ* τ' ἀρθήσεται] *ipse temptavi*, τε *(om. A)* τότ' ἔσσεται *Φ Ψ*
249 μακάρων] *ΜΑΚΑΡΙΩΝ cod. B*, *ΜΑΚΑΡΙΟΝ codd. S P V Lactanti* θεῖον] *ΘΕΙΩΝ cod. B Lactanti* γένος] *Lactantius*, μένος *codd. Sibyll. (in P Betuleius litterae* μ *superscripsit* γ, *unde editio eius* γένος *exhibet)* οὐρανιώνων] *ΟΥΡΑΝΙΩΝ Lactanti codd. R S*, *ΟΥΡΑΝΙΟΝ ΤΕ Lactanti cod. B*

V οἳ περιναιετάουσι θεοῦ πόλιν ἐν μεσογαίοις,
ἄχρι δὲ καὶ Ἰόπης τεῖχος μέγα κυκλώσαντες
ὑψόσ' ἀείρωνται ἐσάχρις νεφέων ἐρεβεννῶν.
οὐκ ἔτι συρίξει σάλπιγξ πολεμόκλονον ἦχον
οὐδ' ἐπιμαινομέναις παλάμαις ἐχθροῦ διολοῦνται·
ἀλλά γ' ἀναστήσουσι κακῶν αἰῶνι τρόπαια.
εἷς δέ τις ἵξεται αὖτις ἀπ' αἰθέρος ἔξοχος ἀνήρ,
οὗ παλάμας ἥπλωσεν ἐπὶ ξύλου ἀγλαοκάρπου
Ἑβραίων ὄχ' ἄριστος, ὃς ἠέλιόν ποτε στῆσεν
φωνήσας ῥήσει τε καλῇ καὶ χείλεσιν ἁγνοῖς.
μηκέτι τείρεο θυμὸν ἐνὶ στήθεσσι μαχαίρῃ,
θειογενὴς πάμπλουτε, μόνῳ πεποθημένον ἄνθος,
φῶς ἀγαθὸν σεμνόν τε θάλος, πεφιλημένον ἔρνος,
Ἰουδαίη χαρίεσσα, καλὴ πόλις, ἔνθεος ὕμνων.
οὐκ ἔτι βακχεύσει περὶ σὴν χθόνα ποὺς ἀκάθαρτος
Ἑλλήνων, οἳ ἄθεσμον ἐνὶ στήθεσσιν ἔχον νοῦν·
ἀλλά σε κυδάλιμοι παῖδες περιτιμήσουσιν
[καὶ μούσαις γλώσσαις ἁγίαισιν ἐπιστήσονται]

256 sqq.] Exod. 17, 12 Ios. 10, 12

eo convocati ex gentibus, in illorum locum adoptione successimus et appellamur filii Iudaeorum: quod declarat Sibylla cum dicit: 249 "Ἰουδαίων' — 'οὐρανιώνων'

251 Ἰόπης] ἰόππης B 252 ἀείρωνται] scripsi, ἀείρονται codd. (ex ἀείροντεσ correctum P, alterum α in rasura A) ἐσάχρις] ipse scripsi; ἄχρι καὶ Φ Ψ, quod videtur e versu superiore irrepsisse, an καὶ ἄχρις? ἐρεβεννῶν] ἐρεβενῶν Ψ 253 συρίξει] συρίγξει A πολεμόκλονον] Struve, πολεμόκτονον Φ Ψ 254 ἐχθροῦ] Alexandre, ἐχθροὺς Φ Ψ 255 ἀλλά γ'] ipse dedi, ἀλλὰ (ἀλλ' A) Φ Ψ ἀναστήσουσι] ipse scripsi, ἐπιστήσει τε Φ Ψ, πέριξ στήσουσι Mendelssohn κακῶν] κακῶ Ψ 256 ἵξεται] ipse scripsi, ἔσσεται Φ Ψ, ἔσσυται Gutschmid (Litt. Centralblatt 1861 n. 28) αὖτις] αὖθις superscripto τ A, αὖθις codd. cett. 257 οὗ] ὃς Alexandre ξύλου] P, ξύλον codd. cett. ἀγλαοκάρπου] Mendelssohn, πολύκαρπον codd., an ὠλεσικάρπου? 258 ὄχ' ἄριστος] cf. XI 129 ὄχ' ἄριστοι ὄχ'] Meineke, ὁ Φ Ψ ποτε στῆσεν] (στῆσε Ψ) Φ Ψ, quod defenderunt Nauck et Mendelssohn (cf. Ios. 10, 12) ποτ' ἔδησεν Ludwich coll. Hom. δ 380 259 χείλεσιν ἁγνοῖς] χείλεσσι μάχαιρα e versu sequente A 260] om. A praeter vocabulum μάχαιρα, quod in locum vocis ἁγνοῖς (in v. antecedente) retractum est τείρεο] τεῖρε B ἐνὶ στήθεσσι μαχαίρῃ] Volkmann (sed μαχαίρᾳ), μὴ στήθεσσι μάχαιρα Φ, ἢ στήθεσι μάχαιραν Ψ (unde ἢ ἐν στήθεσσι Alexandre suspicatus est), μὴ στήθεσσι μέγαιρε Opsopoeus 261 θειογενὴς] Φ, θειογενὲς Ψ, fortasse rectius μόνῳ] Φ ('uni' deo Bleek), μόνον Ψ; θεῷ Opsopoeus coniecit, quod praeferre malim 262] suspectus visus est Gfroerero τε θάλος] Opsopoeus, τε τέλος Φ Ψ πεφιλημένον] Alexandre proposuit, πεποθημένον e versu antecedente Φ Ψ ἔρνος] Bleek adnuente Gfroerero, ἁγνος Φ Ψ, ἁγνόν Meineke, an ἄγνος? 263 χαρίεσσα] χαρήεσσα A 264 περὶ σὴν] Struve, περσῶν Φ Ψ (περ σῶν F) πούς] ποῦσ P, παῖς Castalio 265 οἳ—ἔχον] ipse temptavi, ὁμόθεσμον ἐνὶ στήθεσσιν ἔχων Φ Ψ, παράθεσμον ἐνὶ στήθεσσιν ἔχων anonymus Parisin.; librorum scripturam defendit Volkmann interpretatus 'eidem legi tecum addictum': sperare Sibyllam fore ut omnes Graeci eandem fidem amplectantur 266 κυδάλιμοι] κυδάλιμον Ψ παῖδες] παῖδε A 267] ut magnopere suspectum uncis inclusi; καὶ μούσαις γλώσσαις ἁγίαισιν ἐπιστήσονται Φ, addito τράπεζαν Ψ; καὶ μούσαις ἁγίαισιν ἐπιστήσουσι τράπεζαν Alexandre; μουσῶν corrigebat Gfroerer

V παντοίαις θυσίῃσι καὶ εὐχῇσιν θεοτίμοις.
ἐκ μικρῆς στενότητος ὅσοι καμάτους ὑπέμειναν,
πλείονα καὶ χαρίεντα καλῶς ἕξουσι δίκαιοι·
οἱ δὲ κακοὶ στείλαντες ἐπ᾽ αἰθέρα γλῶσσαν ἄθεσμον
παύσονται λαλέοντες ἐναντίον ἀλλήλοισιν,
αὐτοὺς δὲ κρύψουσιν, ἕως ἀλλαχθῇ ὁ κόσμος.
ἔσται δ᾽ ἐκ νεφέων ὄμβρος πυρὸς αἰθομένοιο·
κοὐκ ἔτι καρπεύσουσι βροτοὶ στάχυν ἀγλαὸν ἐκ γῆς·
πάντα μὲν ἄσπαρτα καὶ ἀνήροτα, ἄχρι νοῆσαι
τὸν πρύτανιν πάντων θεὸν ἄμβροτον αἰὲν ἐόντα
ἀνθρώπους θνητοὺς καὶ μηκέτι θνητὰ γεραίρειν
μηδὲ κύνας καὶ γῦπας, ἅ τ᾽ Αἴγυπτος κατέδειξεν
σεμνύνειν στομάτεσσ᾽ ἐνεοῖς καὶ χείλεσι μωροῖς.
εὐσεβέων δὲ μόνων ἁγίη χθὼν πάντα τάδ᾽ οἴσει,
νᾶμα μελισταγέος ἀπὸ πέτρης ἠδ᾽ ἀπὸ πηγῆς
καὶ γλάγος ἀμβρόσιον ῥεύσει πάντεσσι δικαίοις·
εἰς ἕνα γὰρ γενετῆρα θεὸν μόνον ἔξοχον ὄντα
ἤλπισαν εὐσεβίην μεγάλην καὶ πίστιν ἔχοντες.
ἀλλὰ τί δή μοι ταῦτα νόος σοφὸς ἐγγυαλίζει;
ἄρτι δέ σε, τλήμων Ἀσίη, κατοδύρομαι οἰκτρῶς
καὶ γένος Ἰώνων Καρῶν Λυδῶν πολυχρύσων.

281—283] Lactantius div. inst. VII 24, 14 = vol. I p. 663, 1—4 Brandt: et alia *(Sibylla)* eodem modo: 281 'εὐσεβέων' — 283 'δικαίοις'

268 *θυσίῃσι] θυσίαισι codd. εὐχῇσιν θεοτίμοις] Struve (sed εὐχαῖσιν), εὐχαῖς ἐνθεοτίμοις Φ, εὐχαῖς ταῖς θεοτίμοις Ψ 269 μικρῆς] μικρᾶς codd. 270 καὶ] om. Ψ καλῶς] temptavi, καλὸν codd. ἕξουσι] dedi, ἄρξουσι Φ Ψ (καλὰ πρήξουσι Alexandre) 271 κακοὶ] Φ, κακὴν Ψ ἄθεσμον] Φ, ἄθεσμοι Ψ 273 ἀλλαχθῇ ὁ κόσμος] ipse transposui, ἕως κόσμος ἀλλαγῇ (ἀλαγῇ L) Φ Ψ (ἀλλαχθῇ iam Boissonade requisivit, qui etiam ἕως κτίσις ἀλλαχθείη scribi posse monuit) 276 ἄχρι—ἐόντα] cf. V 65 sq. ὥς τε νοῆσαι | αὐτὴν ἀίδιον θεὸν ἄμβροτον ἐν νεφέεσσιν νοῆσαι] Alexandre e l. e., νοήσῃ (νοήσῃ A) Φ, νοήσει Ψ 277 τὸν πρύτανιν πάντων] = V 499 πάντων] πάντα B θεὸν ἄμβροτον] = V 66 Fragm. I 11 αἰὲν ἐόντα] = V 360, 500 279] cf. Fragm. III 27 sq. προσκυνέοντες ὄφεις κύνας αἰλούρους ἀνόητοι | καὶ πετεηνὰ σέβεσθε γῦπας] γύπας A F ἅ τ᾽] ipse dedi, ἃς A, ἃ codd. cett. 280 στομάτεσσ᾽ ἐνεοῖς] Struve, στομάτεσσι νέοις Φ. στομάτεσσι νόοις Ψ, στομάτεσσιν ἑοῖς Alexandre, an στομάτεσσι λάλοις? 281 εὐσεβέων—χθὼν] Lactantius (sed ἁγία), ἑβραίων δὲ χθὼν ἁγία ἔστι (ἐστὶ A) Φ, ἑβραίων δὲ μόνων ἡ χθὼν ἁγία ἐστὶ Ψ πάντα τάδ᾽ οἴσει] A Lactantius, πάντα δ᾽ οἴσει cett. codd. Sibyll. 282 μελισταγέος] μελισταγέης Lactantius videtur scripsisse (ΜΕΛΙϹΤΑΓΕΗϹ cod. B, ΜΕΛΙϹΤΑΤΑΙΗϹ codd. S P,* melistacees *cod. H Lactanti), μελισταγέουσ᾽ Alexandre ἠδ᾽ ἀπὸ πηγῆς] Lactantius, καὶ διὰ γλώσσης (διαγλώσσησ P) Φ Ψ, quam corruptelam ex Hom. A 249 τοῦ μὲν ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή ortam monuit Alexandre; εὖτ᾽ ἀπὸ πηγῆς Volkmann 283 γλάγος] in Lactantio Struve restituit, ΤΑΛΑΤΟϹ codd. S P,* galas *cod. H, om. cod. B Lactanti; γάλα δ᾽ Φ, μάλα τ᾽ Ψ ἀμβρόσιον] ἀμβροσίης Lactantius (ΑΜΒΡΟϹΙΗΠ cod. B) πάντεσσι] om. Lactanti codd. S P 284 θεὸν—ὄντα] μόνον τ᾽ ἔξοχον ἐόντα Ψ 285 πίστιν] πίστην L 286 δή] om. Ψ ἐγγυαλίζει] ἐγγυαλίξει A Ψ 287] cf. VII 114 XIII 119 ἄρτι δέ σε, τλήμων Συρίη, κατοδύρομαι οἰκτρῶς XI 122 ἄρτι δέ σε, τλήμων Φρυγίη, κατοδύρομαι οἰκτρῶς 288] cf. III 170 Καρῶν καὶ Μυσῶν Λυδῶν τε γένος πολυχρύσων*

V αἲ αἴ σοι, Σάρδεις· αἲ αἲ πολυήρατε Τράλλις·
αἲ αἴ, Λαοδίκεια, καλὴ πόλι· ὡς ἀπολεῖσθε
σεισμοῖς ὀλλύμεναί τε καὶ ἐς κόνιν ἀλλαχθεῖσαι.
Ἀσίδι δὲ δνοφερῇ . . . .
Ἀρτέμιδος σηκὸς Ἐφέσου πηγνύμενος . . .
χάσμασι καὶ σεισμοῖσί ποθ' ἵξεται εἰς ἅλα δεινὴν
πρηνής, ἠύτε νῆας ἐπικλύζουσιν ἄελλαι.
ὕπτια δ' οἰμώξει Ἔφεσος κλαίουσα παρ' ὄχθαις
καὶ ναὸν ζητοῦσα τὸν οὐκ ἔτι ναιετάοντα.
καὶ τότε θυμωθεὶς θεὸς ἄφθιτος αἰθέρι ναίων
οὐρανόθεν πρηστῆρα βαλεῖ κατὰ κρατὸς ἀνάγνου.
ἀντὶ δὲ χειμῶνος θέρος ἔσσεται ἤματι τῷδε.
καὶ τότε δὴ μέγα πῆμ' ἔσται ἄνδρεσσι βροτοῖσιν·
ἐξολέσει γὰρ πάντας ἀναιδέας ὑψικέραυνος
βρονταῖς τε στεροπαῖς τε κεραυνοῖς τε φλεγέθουσιν
ἄνδρας δυσμενέας, καὶ ὡς ἀσεβεῖς ὀλοθρεύσει,
ὥς τε μένειν νέκυας κατὰ γῆς πλέονας ψαμάθοιο.
ἥξει γὰρ καὶ Σμύρνα ἑὸν κλαίουσα Λυκοῦργον
εἰς Ἐφέσοιο πύλας καὶ αὐτὴ μᾶλλον ὀλεῖται.
Κύμη δ' ἡ μωρὴ σὺν νάμασιν οἷς θεοπνεύστοις
ἐν παλάμαις ἀθέων ἀνδρῶν ἀδίκων καὶ ἀθέσμων

293 sq., 296 sq.] Clemens Alex. Protrept. IV 50 = vol. I p. 55, 7—11 Dindorf: *αὕτη (Σίβυλλα) μέντοι ἐρείπια τοὺς νεὼς προσαγορεύει, τὸν μὲν τῆς Ἐφεσίας Ἀρτέμιδος 'χάσμασι καὶ σεισμοῖς' καταποθήσεσθαι προμηνύουσα οὕτως·* 296 *'ὕπτια'* — 297 *'ναιετάοντα'*

289 *αἲ αἴ σοι, Σάρδεις*] *cf.* V *126 αἲ αἴ σοι, Λυκίη,* V *317 αἲ αἴ σοι, Κόρκυρα* V *434 αἲ αἴ σοι, Βαβυλών XI 33 αἲ αἴ σοι, Μέμφι* *σοι*] *Meineke et Nauck e ll. cc. suppleverunt, om.* Φ Ψ *αἲ—Τράλλις*] *Meineke (Τράλλις etiam Volkmann), αἲ αἲ καὶ πολυήρατε τράλλις* Φ, *αἲ αἲ πολυήρατοι τράλλεις* Ψ, *αἲ αἲ πολυήρατε Τράλλεις Nauck* 290 *αἲ αἴ, Λαοδίκεια*] = *XII 280* *καλὴ πόλι*] = V *317; καλὴ πόλις Boissonade* 291 *ἐς*] *εἰς codd.* 292 *Ἀσίδι*] *Volkmann, ἀσσία (ἀσία A) codd., Ἀσσίδι Alexandre* *δὲ*] *Volkmann, τῇ* Φ Ψ *δνοφερῇ*] *Klouček, δνοφερῇ* Φ Ψ; *lacunam statuit Alexandre, in codd. sequitur Λυδῶν τε πολυχρύσων perperam e v. 288 huc delatum (Λυδῶν τε γένει πολυχρύσων e III 170 olim Volkmann)* 293] *in clausula οὔδει supplendum esse censet Klouček* 294 *χάσμασι*] Ψ *Clemens, χάσματι* Φ *ἵξεται*] *A, ἥξεται P, ἥξετε* Ψ (*εἰς ἅλα δεινὴν*] = V *158 cf. ad h. v.)* 295 *πρηνής*] *πρηνεῖς* Ψ *ἠύτε*] *ipse scripsi, ἤδ' ὅτε* Φ, *ἤ τοι ὅτε* Ψ, *ὡς ὅτε Castalio* *νῆας*] *νῆες* Ψ *ἄελλαι*] *Castalio, ἀέλλαις* Φ Ψ 296 *οἰμώξει*] *οἰμώξεις* Ψ 297 *ναὸν*] *νηὸν codd.* *ναιετάοντα*] *ναιετάονται A* 298 *θεὸς—ναίων*] = *XII 132, cf. II 27 μέγας θεὸς αἰθέρι ναίων* *ἄφθιτος*] *ἄφθιτος καὶ P* 299 *κρατὸς*] *κράτος (κράτους B)* Φ *ἀνάγνου*] *ἀνάγνους* Φ 300] *cf. VIII 215 XIV 299 χεῖμα θέρος ποιῶν* 301 *τότε*] *τόδε Friedlieb* *μέγα πῆμ'*] *ipse conieci, μετέπειτ'* Φ Ψ *ἔσται*] *ἔσσεται (ἔσεται A)* Φ 302 *γὰρ πάντας*] *πάντας γὰρ* Ψ 303 *βρονταῖς*] *βροντῇ* Φ *τε στεροπαῖς*] *ἀστεροπαῖς* Ψ, *cf. Hesiod. Theog. 691, 707* 304 *ἄνδρας δυσμενέας*] *Opsopoeus addito τε, ἀνδράσι δυσμενέεσσι* Φ Ψ, *quod tuebatur Alexandre* *ὡς*] *ὧς F* *ὀλοθρεύσει*] *ἐξολοθρεύσει* Ψ 306 *γὰρ*] *om. A* *Σμύρνα*] *σμῦρνα A* *κλαίουσα*] *κλέουσα P L* *Λυκοῦργον*] *Σάμβρον Alexandre* 308 *δ' ἡ*] *an δή?* *ἡ μωρὴ*] *ἡ μωρὰ codd.; an αἰνομόρος?* *νάμασιν οἷς*] *scripsi, νάμασι τοῖς* Φ Ψ 309 *παλάμαις ἀθέων*] *Klausen, παλάμαισι θεῶν* Φ, *παλάμῃσι θεῶν* Ψ *ἀνδρῶν*] *τ' addidit Alexandre, qui θεῶν retinuit*

V ῥιφθεῖσ᾽ οὐκ ἔτι τόσσον ἐς αἰθέρα ῥῆμα προδώσει·
ἀλλὰ μενεῖ νεκρὴ ἐνὶ νάμασι Κυμαίοισιν.
καὶ τότ᾽ ἀναιάξουσιν ὁμοῦ κακότητα μένοντες.
εἰδήσει σημεῖον ἔχων, ἀνθ᾽ ὧν ἐμόγησεν,
Κυμαίων δῆμος χαλεπὸς καὶ φῦλον ἀναιδές.
εἶθ᾽ ὅτ᾽ ἂν αἰάξωσιν ἑὴν χθόνα τεφρωθεῖσαν,
Λέσβος ὑπ᾽ Ἠριδανοῦ αἰώνιον ἐξαπολεῖται.
  αἲ αἴ σοι, Κόρκυρα, καλὴ πόλι, παύεο κώμον.
καί, Ἱεράπολι, γαῖα μόνη πλούτῳ μιχθεῖσα,
ἕξεις, ὃν πεπόθηκας ἔχειν, χῶρον πολύδακρυν
ἐς γῆν χωσαμένη παρὰ χεύμασι Θερμώδοντος.
πετροφυὴς Τρίπολις, σὲ παρ᾽ ὕδασι Μαιάνδροιο
κύμασι νυκτερινοῖσιν ὑπ᾽ ἠόνα κληρωθεῖσαν
ἄρδην ἐξολέσειε θεοῦ κότος ἠδὲ πρόνοια.
  μή μ᾽ ἐθέλουσαν ἑλεῖν Φοίβου τὴν γείτονα χώρην·
Μίλητον τρυφερὴν ἀπολεῖ πρηστήρ ποτ᾽ ἄνωθεν,
ἀνθ᾽ ὧν εἵλετο τὴν Φοίβου δολόεσσαν ἀοιδὴν
τήν τε σοφὴν ἀνδρῶν μελέτην καὶ σώφρονα βουλήν.
  ἵλαθι, παγγενέτωρ, τραφερῇ χθονὶ τῇ πολυκάρπῳ
Ἰουδαίῃ μεγάλῃ, ἵνα σὰς γνώμας ἐπίδωμεν.
ταύτην γὰρ πρώτην ἔγνως, θεός, ἐν χαρίτεσσιν

310 ῥιφθεῖσ᾽] *cum Klausenio scripsi,* ῥιφεῖσ᾽ Φ, ῥιφεῖσα Ψ τόσσον] *Klausen,* τόσον F, τὸν σὸν A, τὸ σὸν *codd. cett.* ῥῆμα] *ipse temptavi,* ἅρμα Φ Ψ, ἅλμα (κοῦφον *pro* τόσσον) *Castalio,* ῥῦμα *Klausen,* χάρμα *Alexandre* 311 μενεῖ νεκρὴ ἐνὶ] *ipse scripsi,* μενεῖ νεκρὰ ἐν Φ Ψ, μενοῦσι νεκροὶ ἐν *Volkmann* Κυμαίοισιν] *Opsopoeus,* κυμήοισι Φ, κυμείοισι Ψ 312 ἀναιάξουσιν] *Alexandre,* ἂν ἕξουσιν Φ Ψ μένοντες] *codd., an* φυγόντες *cf. Hom.* ψ 238 313 *sq.*] *fortasse 314 ante 313 collocandus quo facto initio v. 314 legendum esset* Κυμέων (*cf. Steph. Byz.* Κυμεύς) γὰρ *scriptura codicum melioris notae* (Φ) *paullulum mutata* 313 εἰδήσει] εἰδήσῃ Φ ἔχων] ἔχον A 314 Κυμαίων] Ψ, κύμων γὰρ Φ, Κυμῶν γὰρ *Opsopoeus* φῦλον ἀναιδές] = *V 359* ἀναιδές] *ipse scripsi,* ἀηδές Φ Ψ 315] *cf. V 124* Βιθυνοὶ κλαύσουσιν ἑὴν χθόνα τεφρωθεῖσαν ὅτ᾽ ἂν αἰάξωσιν] *Alexandre,* ὅταν ἕξουσι (ἕξουσιν A F) Φ Ψ ἑὴν] *ipse correxi e l. c.,* κακὴν Φ Ψ 316 ὑπ᾽ Ἠριδανοῦ] *an* ἐπ᾽ Ἠριδανὸν?
317 αἲ—Κόρκυρα] *cf. ad V 289* Κόρκυρα] *Opsopoeus correxit;* κόρχυρα (*in P* χ *ex* κ *factum est, in marg. additum* ἴσως κέρκυρα, *in A supra* χ *scriptum* κ) Φ, κέρκυρα Ψ καλὴ πόλι] = *V 290* καλὴ] κακὴ *fortasse auctorem dixisse suspicatus est Opsopoeus, cf. V 394* κώμον] *olim Alexandre* (κῶμον *Huetius*), κώμην Φ, κώμη Ψ
318 καὶ] καὶ σὺ Ψ Ἱεράπολι, γαῖα] ἱερὰ πολυγαῖα Φ μόνη] μόνη ἡ Ψ μόνη πλούτῳ μιχθεῖσα] *Ludwich,* μόνη πλούτῳ μιγεῖσα Φ Ψ, μόνη πλούτῳ γε μιγεῖσα *Volkmann, fortasse scribendum erit* μόνον πλούτοιο μέλουσα 319 πεπόθηκας] *Castalio,* πεποίηκας (πεποίηκα P) *codd.* πολύδακρυν] πολύδακρυ Ψ 321 πετροφυὴς] πτεροφυὴς F Τρίπολις, σὲ] *ipse correxi,* Τρίπολίς τε *codd.* παρ᾽ ὕδασι Μαιάνδροιο] = *IV 149* 322 ὑπ᾽ ἠόνα] Ψ, ὑπ᾽ ἠόνι (ἰόνι A) Φ κληρωθεῖσαν] *scripsi,* κληρωθεῖσα *codd.;* πληρωθεῖσα *Castalio* 323 ἐξολέσειε] *ipse conieci,* ἐξολέσει σε *codd.* θεοῦ κότος] *dedi,* θεοῖο ποθὴ Φ Ψ ἠδὲ πρόνοια] *scripsi praeeunte Alexandro,* τε πρόνοια (προνοίᾳ *P B*), ἤ τ᾽ ἀπόνοια *edidit Alexandre* 324 χώρην] χώραν *codd.* 326 δολόεσσαν] δολέεσσαν Φ ἀοιδὴν] *Alexandre,* ἀνδὴν Φ Ψ, ἀυτήν *anonymus Londin.* 328 τραφερῇ] *Struve,* τρυφερῇ (*e v. 325*) Φ Ψ χθονὶ] *om. B* τῇ] *om.* Ψ 329 Ἰουδαίῃ μεγάλῃ] ἰουδαίᾳ μεγάλῃ (ἰουδαῖα μεγάλη A) *codd.* μεγάλῃ, ἵνα σὰς] μεγάλ᾽ ἥνασσας F ἐπίδωμεν] *accentum correxit Struve,* ἐπιδῶμεν Φ Ψ 330 ἔγνως] *Alexandre,* ἔγνω Φ Ψ

V ἐς τὸ δοκεῖν προχάρισμα τεὸν πάντεσσι βροτοῖσιν
εἶναι καὶ προσέχειν, οἷον θεὸς ἐγγυάλιξεν.
ἱμείρω τριτάλαινα τὰ Θρῃκῶν ἔργα ἰδέσθαι
καὶ τεῖχος διθάλασσον ὑπ' ἠέρος ἐν κονίῃσιν
στρόμενον ποταμηδὸν ἐπ' ἰχθυόεντι κολύμβῳ.
Ἑλλήσποντε τάλαν, ζεύξει ποτέ σ' Ἀσσυρίων παῖς·
εἶσι μάχη Θρῃκῶν καί σου σθένος ἐξαλαπάξει.
γῆς τε Μακηδονίης βασιλεὺς Αἰγύπτιος ἄρξει
καὶ κλίμα βαρβαρικὸν ῥίψει σθένος ἡγεμονήων.
Λυδοὶ καὶ Γαλάται, Πάμφυλοι σὺν Πισίδῃσιν
πανδημεὶ κρανέουσι κακὴν ἔριν ὁπλισθέντες.
Ἰταλίη τριτάλαινα, μενεῖς πανέρημος ἄκλαυστος
ἐν γαίῃ θαλερῇ ὀλοῷ δάκει ἐξαπολέσθαι.
ἔσται δ' αἰθέριόν ποτ' ἀν' οὐρανὸν εὐρὺν ὕπερθεν
βροντηδὸν κελάδημα θεοῦ φωνὴν ἐπακοῦσαι.
ἠελίου δ' αὐτοῦ φλόγες ἄφθιτοι οὐκ ἔτ' ἔσονται
οὐδὲ σεληναίης λαμπρὸν φάος ἔσσεται αὖτις
ὑστατίῳ καιρῷ, ὁπότ' ἂν θεὸς ἡγεμονεύσῃ.
πᾶσαν δ' ὀρφναίη σκοτίη ἔσται κατὰ γαῖαν,
καὶ τυφλοὶ μέροπες θῆρές τε κακοὶ καὶ ὀιζύς·
ἔσσεται ἦμαρ ἐκεῖνο χρόνον πολύν, ὥς τε νοῆσαι
αὐτὸν ἄνακτα θεὸν πανεπίσκοπον οὐρανόθι πρό.
αὐτὸς δυσμενέας δ' ἄνδρας τότε δὴ οὐκ ἐλεήσει,

331 ἐς τὸ] cf. ad V 220 332 καὶ] τε Ψ οἷον θεὸς ἐγγυάλιξεν] cf. III 165 θεὸς — νόῳ ἐγγυάλιξεν θεὸς] τ' Ψ 334 ἠέρος] correxi, ἀέρος codd. 335 στρόμενον] Ψ, στρῶ μὲν Φ 336] ex antiquiore oraculo ductus videbatur Alexandro coll. Herod. VII 6 ὁ δὲ . . . ἔλεγε τόν τε Ἑλλήσποντον ὡς ζευχθῆναι χρεὼν εἴη ὑπ' ἀνδρὸς Πέρσεω 336 Ἑλλήσποντε τάλαν] Alexandre, ἑλλήσποντε τάλαινα Φ, ἑλλήσποντόν τε τάλαιναν Ψ ζεύξει ποτέ σ'] ζεύξει σ' (ζεύξ' εἰς P) om. ποτέ Φ. ζεύξει ποτὲ (om. σ') Ψ, unde veram scripturam restituit Alexandre Ἀσσυρίων] ἀσσυρίης Ψ 337 εἶσι] Nauck, εἰς σὲ Φ Ψ μάχη] μάχην Ψ 338 γῆς τε Μακηδονίης] ipse scripsi, τήν τε Μακηδονίην (μακεδονίην Ψ) Φ Ψ ἄρξει] ipse temptavi, αἱρεῖ Φ Ψ 339 καὶ κλίμα] de correpta priore syllaba cf. quae exposuit Nauck Mélanges Gréco-Rom. III 322 sq.; an κλῖμα δὲ? ἡγεμονήων] ἡγεμόνων Ψ 340 Πάμφυλοι σὺν] olim Alexandre (cf. III 169, 209, 515 XI 55), παμφύλιοι ἐν Φ Ψ Πισίδῃσιν] πισίδεσσι Φ Ψ, correxit Alexandre ex Opsopoei coniectura Πισίδαισι 341 κρανέουσι] coniecit Alexandre, κραιέουσι Φ Ψ 342 Ἰταλίη τριτάλαινα] cf. V 137 Ἑλλάδα τὴν τριτάλαιναν 343 ὀλοῷ δάκει] scripsi, ὀλοὸν δάκος Φ, ὀλοὸν δάκος Ψ 344 αἰθέριόν ποτ' ἀν'] ipse dedi, αἰθέριον Ψ, αἰθέρος Φ, αἰθέριον ἀνὰ Alexandre οὐρανὸν εὐρὺν] Alexandre, οὐρανὸς εὐρὺς Φ, οὐρανοῦ εὐρὺ Ψ 346 ἄφθιτοι] Ψ, ἄθικτ' Φ 347 αὖτις] A, αὖθις codd. cett. 349 πᾶσαν δ' ὀρφναίη σκοτίη] ipse temptavi (an πάντη?), πάντα μελαιναίη (μελαινέη superscripto αι A, μελαναίη B) σκοτίη (σκοτιὴ Φ) δ' Φ Ψ; πάντα μελανθείη· σκοτίη δ' Alexandre 350 τε] om. Ψ 351 ὥς τε — πρό] cf. V 65 sq. ὥς τε νοῆσαι | αὐτὴν ἀίδιον θεὸν ἄμβροτον ἐν νεφέεσσιν 352 αὐτὸν — πανεπίσκοπον] cf. I 152 ἀθάνατος σωτὴρ πανεπίσκοπος II 177 ὕψιστος πάντων πανεπίσκοπος πανεπίσκοπον] πάλιν ἐπίσκοπον Ψ οὐρανόθι πρό] = I 267 353 αὐτὸς] αὐτὸν Ψ δυσμενέας δ'] Φ, δυσμενέας Ψ τότε δὴ οὐκ] ipse scripsi, τότε δ' οὐκ Ψ, τότε οὐκ Φ

V ἀρνῶν ἠδ' οἰῶν μόσχων τ' αἰγῶν τ' ἐριμύκων
ἐκθυσιάζοντας ταύρων τ' ἀγέλας κεροχρύσων,
ἀψύχοις θ' Ἑρμῆσιν ἰδὲ λιθίνοισι θεοῖσιν.
ἡγείσθω δὲ θέμις σοφίης καὶ δόξα δικαίων·
μή ποτε θυμωθεὶς θεὸς ἄφθιτος ἐξαπολέσσῃ
πᾶν γένος ἀνθρώπων βιότου καὶ φῦλον ἀναιδές,
δεῖ στέργειν γενετῆρα θεὸν σοφὸν αἰὲν ἐόντα.
ἔσσεται ὑστατίῳ καιρῷ περὶ τέρμα σελήνης
κοσμομανὴς πόλεμος καὶ ἐπίκλοπος ἐν δολότητι.
ἥξει δ' ἐκ περάτων γαίης μητροκτόνος ἀνὴρ
φεύγων ἠδὲ νόῳ ὀξύστομα μερμηρίζων,
ὃς πᾶσαν γαῖαν καθελεῖ καὶ πάντα κρατήσει
πάντων τ' ἀνθρώπων φρονιμώτερα πάντα νοήσει·
ἧς χάριν ὤλετό τ' αὐτός, ἑλεῖ ταύτην παραχρῆμα.

358—360] Lactantius de ira div. 23 = vol. II p. 245 Fritzsche: deinde Sibylla caelestium terrenorumque genitorem diligi oportere denuntiat, ne ad perdendos homines indignatio eius insurgat: 358 'μή ποτε' — 360 'αἰὲν ἐόντα' 363 sq.] Pseudolactantius (Caecilius) de mort. persecut. 2 = vol. II p. 250 Fritzsche: unde illum quidam deliri credunt esse translatum ac vivum reservatum Sibylla dicente matricidam profugum a finibus terrae esse venturum, ut quia primus persecutus est, idem etiam novissimus persequatur et antichristi praecedat adventum, quod nefas est credere. Lactantius div. inst. VII 16, 3 = vol. I p. 635, 9—17 Brandt: tum repente adversus eos hostis potentissimus ab extremis finibus plagae septentrionalis orietur, qui tribus ex eo numero deletis qui tunc Asiam obtinebunt, adsumetur in societatem a ceteris ac princeps omnium constituetur. hic insustentabili dominatione vexabit orbem, divina et humana miscebit, infanda dictu et exsecrabilia molietur, nova consilia in pectore suo volutabit, ut proprium sibi constituat imperium, leges commutet et suas sanciat, contaminabit diripiet spoliabit occidet

354 ἀρνῶν] ἀνδρῶν A *μόσχων—ἐριμύκων] cf. III 564 βοῶν ταύρων τ' ἐριμύκων III 523 βοῶν τ' ἀγέλας ἐριμύκων* *τ' αἰγῶν τ'] ipse temptavi, τ' ἀγέλας Φ Ψ* *ἐριμύκων] ἐριμήκων P* 354 *ἐκθυσιάζοντας] A, ἐκθυσιάζοντα P B, ἐκθυσιάζοντες Ψ* *ταύρων τ' ἀγέλας] Struve, μόσχων μεγάλων (μεγάλω Ψ) Φ Ψ, quod in locum verborum deperditorum substituendum esse vidit ille vir doctus* *κεροχρύσων] κερωχρύσων Ψ* 356] *cf. Fragm. III 30 κὰν παρόδοισι λίθων συγχώματα* *θ' Ἑρμῆσιν ἰδὲ] ipse temptavi. θ' Ἑρμαῖς καὶ τοῖς Opsopoeus, δ' ὁρμαῖς καὶ τοῖς Φ Ψ* *λιθίνοισι θεοῖσιν] cf. V 495 λιθίνοισι καὶ ὀστρακίνοισι θεοῖσιν V 82 θεοὺς ξυλίνους λιθίνους τε* *λιθίνοισι] λιθίνοις Ψ* 357 *ἡγείσθω] ἡγεί L* *δόξα] δόξαι A* 358 *μή ποτε] ΚΑΙ ΠΟΤϵ cod. Bon. Lactanti* *ἐξαπολέσσῃ] ἐξαπολέσῃ Ψ, ἐξαπολέσει supra addito altero σ et η A, ἐξαπολέσῃς (in marg. P Betuleius adnotavit ἐξ ἀπολέσσῃ) cett. codd. Sibyll., ϵΞϵΟΛϵϹΑΙ Lactanti cod. B, ΗΖΑΠΩΛϵϹ cod. Par.* 359 *sq.] hoc ordine versus tradit Lactantius; in codd. Sib. sedem invicem mutarunt* 359 *πᾶν] Lactantius, μὴ Φ Ψ* *βιότου] ipse scripsi, βίοτον Φ Ψ Lactantius, ΒΙΩΤΩΝ cod. Par.* *φῦλον ἀναιδές] = V 314; sic Lactantius, πάντας ὀλέσσῃ (e v. 358) Φ Ψ* 360 *αἰὲν ἐόντα] ΑϵΝΑΩΝϵϵ Lactanti cod. Par. (unde fortasse ἀέναόν τε suspicari possit quispiam)* 361 *περὶ τέρμα σελήνης] cf. V 476 κατὰ τέρμα | ἠελίου δύνοντος* 362 *κοσμομανὴς πόλεμος] = V 462* *κοσμομανὴς] οἰστρομανὴς suspicatus est Opsopoeus* 363 *ἥξει—φεύγων] cf. VIII 70 sq. ὅτ' ἂν γ' ἐπανέλθῃ | ἐκ περάτων γαίης ὁ φυγὰς μητροκτόνος ἀνήρ* 364 *φεύγων] φεύγον P* *ἠδὲ] ἢ δὲ P* *νόῳ] νόων B, νόον codd. cett., correxit Alexandre* *ὀξύστομα] coniunctim Alexandre, ὀξὺ στόμα Φ Ψ* 365 *ὃς—καθελεῖ] = V 156* *καὶ πάντα κρατήσει] cf. V 416 καὶ πάντων ἐκράτησε* 366 *τ'] om. Ψ* 367 *ὤλετό τ' αὐτός] ὦλετ' αὐτός A Ψ*

V ἄνδρας τ' ἐξολέσει πολλοὺς μεγάλους τε τυράννους
πάντας τ' ἐμπρήσει, ὡς οὐδέ ποτ' ἄλλος ἐποίει,
τοὺς δ' αὖ πεπτηῶτας ἀνορθώσει διὰ ζῆλον.
ἔσται δ' ἐκ δυσμῶν πόλεμος πολὺς ἀνθρώποισιν,
ῥεύσει δ' αἷμα κατ' ὄχθον ἕως ποταμῶν βαθυδινῶν.
†τῆς τε Μακηδονίης στάξει χόλος ἐν πεδίοισιν
συμμαχίην †δῶ δ' ἐκ δυσμῶν, βασιλῆι δ' ὄλεθρον.
καὶ τότε χειμερίη πνοιὴ πνεύσει κατὰ γαῖαν,
καὶ πεδίον πολέμοιο κακοῦ πλησθήσεται αὖτις.
πῦρ γὰρ ἀπ' οὐρανίων δαπέδων βρέξει μερόπεσσιν
σύν τε καὶ αἷμ' ὕδωρ πρηστὴρ γνόφος οὐρανίη νὺξ
καὶ φθίσις ἐν πολέμῳ καὶ ἐπὶ σφαγίῃσιν ὀμίχλη
πάντας ὁμοῦ τ' ὀλέσει βασιλεῖς καὶ φῶτας ἀρίστους.
εἶθ' οὕτως πολέμοιο πεπαύσεται οἰκτρὸς ὄλεθρος.
κοὐκ ἔτι τις ξίφεσιν πολεμίξεται οὐδὲ σιδήρῳ
οὐδ' αὐτοῖς βελέεσσιν, ἃ μὴ θέμις ἔσσεται αὖτις.
εἰρήνην δ' ἕξει λαὸς σοφός, ὅς περ ἐλείφθη,
πειρηθεὶς κακότητος, ἵν' ὕστερον εὐφρανθείη.
μητρολέται, παύσασθε θράσους τόλμης τε κακούργου,
οἳ τὸ πάλαι παίδων κοίτην ἐπορίζετ' ἀθέσμως
καὶ τέγεσιν πόρνας στήσασθε κόρας πάρος ἁγνὰς
ὕβρεσι καὶ κολάσει κἀσχημοσύνῃ πολυμόχθῳ.
ἐν σοὶ γὰρ μήτηρ τέκνῳ μίχθη ἀθεμίστως,

368 πολλοὺς — 369 ἐμπρήσει incl.] *desunt in A* 369 ὡς—ἐποίει] *cf. V 220 sq.* ἐς τὸ ποιῆσαι | οἷά τις οὐ πρότερος τῶν συμπάντων βασιλήων οὐδέ ποτ' ἄλλος] *Badt*, δήποτε ἄλλος Φ, δήποτ' ἄλλος Ψ, δήποτε ἄλλοτ' *Bleek*, μήποτε ἄλλος *Alexandre (qui in Cur. post. etiam* οὔ ποτε *suspicatus est)* 371 πολὺς] *fortasse* βαρὺς *suspiceris* 372 αἷμα κατ' ὄχθον] *Castalio*, αἷμα τά τ' ὄχθον (αἵματά τ' ὄχθον *A*) Φ, αἵματος ὄχθος Ψ βαθυδινῶν] βαθυδίνων *codd.* 373 *sq.*] *versus misere inquinati* 373 † τῆς τε] *corrupte* Φ, τοῖς τε Ψ, *fortasse* γῆς δὲ Μακηδονίης] μακεδονίης Ψ στάξει] *Alexandre*, στάζει Φ Ψ, *locus necdum sanatus* 374 † δῶ δ'] Φ, δώσουσιν Ψ βασιλῆι δ'] *ipse temptavi*, βασιλεῖ δ' (δὲ *P*) Φ Ψ, βασιλεῦσι δ' *Alexandre* 375 πνοιὴ] πνοὴ Ψ 376 αὖτις] *Opsopoeus*, αὐτῆς Φ Ψ, αὖθις *Alexandre* 377 βρέξει] βρέξι *P*; *an* ἥξει? 378 σύν τε καὶ αἷμ'] *ipse temptavi*, πῦρ τε καὶ αἷμα Φ Ψ 379 σφαγίῃσιν] *ipse dedi (cf.* ἀλλαγίῃ *II 157); idque etiam Alexandre dubitans suspicatus erat;* σφαγῇσι Φ Ψ ὀμίχλη] ὀμίχλης Φ 380] *cf. V 109* πάντας ὀλεῖ βασιλεῖς μεγάλους καὶ φῶτας ἀρίστους καὶ φῶτας ἀρίστους] *cf. V 144* καὶ φῶτες ἄριστοι φῶτας] *e V 109 correxi*, τοὺς τότ' (τότ' *om.* τοὺς *A*) Φ Ψ 381] *cf. III 752* οὐ πόλεμος ... ἔσται 382 *sq.*] *cf. III 727—729* 382 κοὐκ ἔτι — πολεμίξεται] *cf. III 751* οὐδὲ μάχαιρα κατὰ χθονὸς 382 ξίφεσιν] *A*, ξίφεσι *codd. cett.* πολεμίξεται] πτολεμίξεται *B* 383 αὖτις] *A*, αὐτοῖς Ψ, αὖθις *cett. codd.* 384] *cf. III 755* ἀλλὰ μὲν εἰρήνη μεγάλη κατὰ γαῖαν ἅπασαν 385 πειρηθεὶς] *dedi*, πειραθεὶς *codd.* κακότητος] Ψ, κακότητα Φ ἵν'] ἦν *L* 386 μητρολέται] μετρολέται *A* παύσασθε] παύσασθαι *A* 387 ἐπορίζετ'] *A* Ψ, ἐμπορίζετ' *P B*, ἐνυβρίζετ' *olim Alexandre* ἀθέσμως] *ipse conieci, cf. V 430* παίδων Κύπρις ἄθεσμος; ἀνάγνως *e versus sequentis clausula ortum* Φ Ψ 388 στήσασθε—ἁγνὰς] *ipse temptavi*, ἐστήσατε (ἐστήσατο *P*) τὰς πάλαι ἁγνάς Φ Ψ (πάλαι *e v. superiore irrepsit*) 389 ὕβρεσι] *an* ὕβρει? κἀσχημοσύνῃ] κἀσχημοσύνη *A*, καὶ ἀσχημοσύνη Ψ 390 *sq.*] *cf. VII 43 sqq.* ἕξει γὰρ μήτηρ ἑὸν υἱέα καὶ πόσιν· υἱὸς | μητέρα δηλήσει· θυγάτηρ δ' ἐπὶ πατρὶ κλιθεῖσα | βάρ-

V καὶ θυγάτηρ γενετῆρι ἑῷ συζεύξατο νύμφη·
ἐν σοὶ καὶ βασιλεῖς στόμα δύσμορον ἐξεμίηναν,
ἐν σοὶ καὶ κτηνῶν εὗρον κοίτην κακοὶ ἄνδρες.
σίγησον, πανόδυρτε κακὴ πόλι, κῶμον ἔχουσα·
οὐκ ἔτι γὰρ παρὰ σοί γ' ἱερῆς φιλοθρέμμονος ὕλης
παρθενικαὶ κοῦραι πῦρ ἔνθεον ὠρήσουσιν·
ἔσβεσται παρὰ σοὶ τὸ πάλαι πεποθημένος οἶκος,
ἡνίκα δεύτερον εἶδον ἐγὼ ῥιπτούμενον οἶκον
πρηνηδὸν πυρὶ τεγγόμενον διὰ χειρὸς ἀνάγνου,
οἶκον ἀεὶ θάλλοντα, θεοῦ τηρήμονα ναόν,
ἐξ ἁγίων γεγαῶτα καὶ ἄφθιτον αἰὲν ἐόντα,
ἐκ ψυχῆς ἐλπιζόμενον καὶ σώματος αὐτοῦ.
οὐ γὰρ ἀκηδέστως αἰνεῖ θεὸν ἐξ ἀφανοῦς γῆς
οὐδὲ πέτρην ποίησε σοφὸς τέκτων παρὰ τούτοις,
οὐ χρυσὸν κόσμου ἀπάτην ψυχῶν τ' ἐσεβάσθη,
ἀλλὰ μέγαν γενετῆρα θεὸν πάντων θεοπνεύστων
ἐν θυσίαις ἐγέραιρ' ἁγίαις καλαῖς θ' ἑκατόμβαις.
νῦν δέ τις ἐξαναβὰς ἀφανὴς βασιλεὺς καὶ ἄναγνος
ταύτην ἔρριψεν καὶ ἀνοικοδόμητον ἀφῆκεν
σὺν πλήθει μεγάλῳ καὶ ἀνδράσι κυδαλίμοισιν.
αὐτὸς δ' ὤλετο χέρσον ἔπ' ἀθανάτης ἐπιβὰς γῆς.
κοὐκ ἔτι σῆμα τοιοῦτον ἐπ' ἀνθρώποισι τέτυκτο,
ὥς τε δοκεῖν ἑτέρους μεγάλην πόλιν ἐξαλαπάξαι.
ἦλθε γὰρ οὐρανίων νώτων ἄπ' ἀνὴρ μακαρίτης
σκῆπτρον ἔχων ἐν χερσίν, ὅ οἱ θεὸς ἐγγυάλιξεν,
καὶ πάντων ἐκράτησε καλῶς πᾶσίν τ' ἀπέδωκεν
τοῖς ἀγαθοῖς τὸν πλοῦτον, ὃν οἱ πρότεροι λάβον ἄνδρες.

βαρον ὑπνώσει τοῦτον νόμον 390 μίχθη ἀθεμίστως] ipse dedi, ἀθεμίστως μίγη Φ Ψ, ἐμίγη ἀθεμίστως Dausqueius praeeunte Opsopoeo, qui μίγη ἀθεμίστως proposuerat, ἀθέμιστος ἐμίγη Alexandre 391 γενετῆρι] γενετῆρ' Ψ 392 ἐξεμίηναν] Castalio correxit, ἐξαίμηναν P, ἐξαίμηναν A, ἐξείμιναν B, ἐξέμηναν Ψ 395 παρὰ σοί γ' ἱερῆς] ipse temptavi, παρὰ σοῖο (σοῦ A) τὴν τῆς Φ, παρὰ σεῖο τῆς Ψ, παρὰ σοὶ ἐκ (vel ἀπὸ) τῆς Alexandre proposuit; (παρὰ σεῖο) τὸ τῆς Castalio, (παρὰ σεῖο) τεῆς Struve, an παρὰ σοί γε τεῆς? φιλοθρέμμονος] φιλοθρέμονος Ψ 396 ὠρήσουσιν] Opsopoeus invenit, εὑρήσουσιν Φ Ψ 397 παρὰ σοὶ τὸ πάλαι] ipse emendavi, παρὰ σεῖο πάλαι Φ Ψ 398 ἡνίκα] ἡνίκα δὲ Ψ 404 ποίησε] ποιῆσαι P σοφὸς] θεὸς Ψ 405 κόσμου] Castalio, κόσμον Φ, καὶ κόσμον Ψ τ'] om. Ψ 406] cf. III 278 ἀθάνατον γενετῆρα θεὸν πάντων θεοπνεύστων μέγαν γενετῆρα] cf. III 296 γενετῆρα μέγαν μέγαν] μέγα A θεὸν] Ψ, θεῶν Φ 407 ἐγέραιρ'—καλαῖς θ'] ipse conieci, ἐγέραιρον καὶ ἁγίαις Φ Ψ 409 ἔρριψεν] ἐξέρριψε Ψ 410 καὶ] Φ Ψ, an τε καὶ? 411 χέρσον ἔπ'—γῆς] Bleek, qui etiam χέρσον ἀπ' ἀθανάτης ἀποβὰς γῆς scribi posse censuit; χέρσον ἀπ' ἀθανάτην ἐπιβὰς γῆν Φ Ψ; an potius scribendum χερσὶν ἐπ' ἀθανάτης ἐπιβὰς γῆς? 414 νώτων ἄπ'] ipse dedi, νώτων γε Ψ, νώτων Φ 415 ἔχων] ἔχον P (Betulei manu ω minio superscriptum est) ὅ—ἐγγυάλιξεν] cf. V 511 ὅ οἱ] οἵ οἱ P θεὸς] πατὴρ θεὸς Ψ 416 πᾶσίν τ'] πᾶσιν A, πᾶσί τ' Ψ τοῖς—πλοῦτον] an πλοῦτον τοῖς ἀγαθοῖσιν? πρότεροι] πρότερον Ψ λάβον] λαβόντες P Ψ

V πάσας δ' ἐκ βάθρων εἷλεν πόλιας πυρὶ πολλῷ
καὶ δήμους ἔφλεξε βροτῶν τῶν πρόσθε κακούργων
καὶ πόλιν, ἣν ἐπόθησε θεός, ταύτην ἐποίησεν
φαιδροτέρην ἄστρων τε καὶ ἡλίου ἠδὲ σελήνης
καὶ κόσμον κατέθηχ' ἅγιόν τ' οἶκον ἐποίησεν
ἔνσαρκον καθαρὸν περικαλλέα ἠδέ τ' ἔπλασσεν
πολλοῖς ἐν σταδίοισι μέγαν καὶ ἀπείρονα πύργον
αὐτῶν ἁπτόμενον νεφέων καὶ πᾶσιν ὁρατόν,
ὥς τε βλέπειν πάντας πιστοὺς πάντας τε δικαίους
ἀιδίοιο θεοῦ δόξαν, πεποθημένον εἶδος.
ἀντολίαι δύσιές τε θεοῦ κλέος ἐξύμνησαν.
οὐκ ἔτι γὰρ πέλεται δειλοῖσι βροτοῖς τότε δεινά,
οὐδὲ γαμοκλοπίαι καὶ παίδων Κύπρις ἄθεσμος,
οὐ φόνος οὐδὲ κυδοιμός, ἔρις δ' ἐν πᾶσι δικαίη.
ὕστατος ἔσθ' ἁγίων καιρός, ὅτε ταῦτα περάνῃ
θεὸς ὑψιβρεμέτης, κτιστὴς ναοῖο μεγίστου.
αἲ αἴ σοι, Βαβυλὼν χρυσόθρονε χρυσοπέδιλε,
πουλυετὴς βασίλεια μόνη κόσμοιο κρατοῦσα,
ἡ τὸ πάλαι μεγάλη καὶ πάμπολις, οὐκ ἔτι κείσῃ
οὔρεσιν ἐν χρυσέοις καὶ νάμασιν Εὐφρήταο·
στρωθήσῃ σεισμοῖο κλόνῳ. Πάρθοι δέ σε δεινοὶ
πάντα παθεῖν ἐποίησαν. ἔχε στόμ' ἄφημον, ἀνάγνη

420 sq.] Lactantius div. inst. VII 23, 6 = vol. I p. 659, 9—15 Brandt: post cuius adventum congregabuntur iusti ex omni terra peractoque iudicio civitas sancta constituetur in medio terrae, in qua ipse conditor deus cum iustis dominationibus commoretur. quam civitatem Sibylla designat cum dicit: 420 'καὶ πόλιν' — 421 'σελήνης'

418 εἷλεν πόλιας] *Volkmann*, εἷλεν (εἷλε Ψ) πόλεις (πόλεις *superscripto* ι P, πόλις A) ἐν Φ Ψ 419 τῶν] *om.* Ψ 420 ἐποίησεν] ἐπόησε Ψ 421 φαιδροτέρην] φαιδροτέραν *codd. Sibyll.*, λαμπροτέραν *Lactantius* τε καὶ] ἠδ' *Lactantius* 422 ἅγιόν τ' οἶκον] *ipse conieci*, ἅγιόν τε (τ' A) Φ, ἅγιόν ποτ' Ψ; ἅγιόν τε ναόν *Castalio, quod Alexandre in* ἅγιόν τε νεών *mutavit* 423 καθαρὸν] *ipse scripsi*, καλὸν Φ Ψ, *quod iuxta* περικαλλέα *ferri non potest* περικαλλέα] περικαλέα F ἠδέ τ' ἔπλασσεν] *ipse temptavi*, ἠδὲ πλάσε Φ Ψ, ἠδ' ἔπλασε *Alexandre* 425 αὐτῶν] αὐτὸν P 427 ἀιδίοιο θεοῦ δόξαν] *ipse transposui*, δόξαν ἀιδίοιο (ἀιδίου Φ) θεοῦ Φ Ψ πεποθημένον εἶδος] *cf.* V 261 πεποθημένον ἄνθος πεποθημένον] πεπορθημένον Φ 428 ἀντολίαι δύσιές τε] *cf.* III 26 VIII 321 XIV 189 ἀντολίην τε δύσιν τε 429 βροτοῖς τότε δεινά] *ipse dedi*, βροτοῖσι (βροτοῖσιν A) δεινὰ Φ Ψ, βροτοῖσι τὰ δεινὰ *Castalio* 430] *cf.* V 166 μοιχεῖαι παρὰ σοὶ καὶ παίδων μίξις ἄθεσμος III 764 μοιχείας πεφύλαξο καὶ ἄρσενος ἄκριτον εὐνήν IV 33 sq. οὐδ' ἄρ' ἐπ' ἀλλοτρίῃ κοίτῃ πόθον αἰσχρὸν ἔχοντες | οὐδέ τ' ἐπ' ἄρσενος ὕβριν ἀπεχθέα τε στυγερήν τε 431 οὐ—κυδοιμὸς] *cf.* III 753 οὐ πόλεμος φόνος] φθόνος Ψ 432 ὅτε ταῦτα] *Alexandre*, ὅτι αὐτὰ Φ Ψ περάνῃ] *ipse dedi*, παραινεῖ Φ Ψ, περαίνει *Castalio* 434 αἲ αἴ σοι, Βαβυλὼν] = III 303 XI 204 χρυσόθρονε] χρυσόθρονε καὶ Ψ 435] *cf.* V 186 πουλυετὴς ἐγένου σὺ μόνη κόσμοιο κρατοῦσα πουλυετὴς] πουλιετὴς P, πολυετὴς Ψ μόνη] μούνη Ψ 437 Εὐφρήταο] *correxit Alexandre*, εὐφρήτοιο Φ, εὐφράτοιο Ψ 438 στρωθήσῃ] *Huetius*, στρωθείσῃ (σιρωθείσῃ A) Φ Ψ κλόνῳ] *ipse restitui, cf.* IV 58; χρόνῳ Φ Ψ 439 παθεῖν] *Volkmann*, κρατεῖν Φ Ψ στόμ' ἄφημον] *Alexandre*, στόμα φιμὸν Φ Ψ ἀνάγνη] *Opsopoeus (cf.* VII 107*)*, ἀνάγκης Φ Ψ

V *Χαλδαίων γενεή· μηδ' εἴρεο μηδὲ μερίμνα,*
πῶς Περσῶν ἄρξεις ἢ πῶς Μήδων δὲ κρατήσεις·
εἵνεκα γὰρ τῆς σῆς ἀρχῆς, ἣν ἔσχες, ὅμηρα
ἐς Ῥώμην πέμψασα καὶ Ἀσίδι θητεύουσα,
τὸ πρὶν μὲν καὐτὴ βασιλὶς φρονέουσ', ἐπὶ κρῖμα
ἀντιδίκων ἥξεις, ὧν εἵνεκα λυγρὰ πέπονθας·
δώσεις δ' ἀντὶ λόγων σκολιῶν πικρὸν χόλον ἐχθροῖς.
ἔσται δ' ὑστατίῳ καιρῷ ξηρός ποτε πόντος
κοὐκ ἔτι πλωτεύσουσιν ἐς Ἰταλίην ποτὲ νῆες,
Ἀσὶς δ' ἡ μεγάλη τότε πάμμορος ἔσσεται ὕδωρ,
καὶ Κρήτη πεδίον. Κύπρος δ' ἕξει μέγα πῆμα
καὶ Πάφος αἰάξει δεινὸν μόρον, ὥς τε νοῆσαι
καὶ Σαλαμῖνα πόλιν μεγάλην μέγα πῆμα παθοῦσαν·
νῦν μὲν χέρσος, ἄκαρπος ἐπ' ᾐόνος ἔσσεται ἄμμος.
ἀκρὶς δ' οὐκ ὀλίγη χθόνα Κύπριον ἐξολοθρεύσει.
ἐς Τύρον, αἰνόμοροι μέροπες, κλαύσεσθε βλέποντες.
Φοινίκη, δεινός σε μένει χόλος, ἄχρι πεσεῖν σε
πτῶμα κακόν, Σειρῆνες ὅπως κλαύσωνται ἀληθῶς.
ἔσται δ' ἐν πέμπτῃ γενεῇ, ὅτ' ἐπαύσατ' ὄλεθρος
Αἰγύπτου, βασιλῆες ὅτ' ἂν μιχθῶσιν ἀναιδεῖς,
Παμφύλων γενεαὶ δ' εἰς Αἴγυπτον καθεδοῦνται,
ἔν τε Μακηδονίῃ καὶ ἐν Ἀσίδι καὶ Λιβύεσσιν
κοσμομανὴς πόλεμος πολυαίματος ἐν κονίῃσιν,
ὃν παύσει Ῥώμης βασιλεὺς δυσμῶν τε δυνάσται.

439 sq.] Es. 47, 5 sq.

440 *Χαλδαίων*] *χαλδεῶν L* *μηδ' εἴρεο*] *ipse dedi, μήτ' εἴρεο Φ, μὴ τείρεο Ψ* *μηδὲ*] *μὴ δὲ P F* *μερίμνα*] *μέριμνα P* 441 *Μήδων δὲ*] *ipse temptavi, Μήδων τε Φ Ψ* 442 *ἣν*] *ipse scripsi, ἧς Φ Ψ* *ἔσχες*] *Alexandre, ἔσχεν Φ Ψ* 443 *ἐς*] *εἰς codd.* *Ἀσίδι*] *F, ἀσσίδι cett.* *θητεύουσα*] *Alexandre, θητεύοντας codd.* 444 *τὸ πρὶν μὲν*] *ipse temptavi, τοιγάρτοι Φ Ψ* *ἐπὶ κρῖμα*] *cum Boissonadio scripsi, ἐπὶ κρίσιν Alexandre, εἰς κρίσιν Φ Ψ: fortasse ἐπὶ βῆμα* 445 *ἀντιδίκων*] *Volkmann (sed ἀντιδικῶν), ἀττικῶν Φ Ψ, ἀδικιῶν Alexandre, ἀθεμίτων Boissonade* *λυγρὰ πέπονθας*] *cf. XI 282 λυγρὰ παθοῦσα* *λυγρὰ*] *Castalio, λύτρα Φ Ψ* *πέπονθας*] *πέπομφας A Ψ* 446 *δώσεις*] *δώσει Ψ* *χόλον*] *λόγον A* 448 *κοὐκ ἔτι*] *P, κοὐκέτι codd. cett.* *Ἰταλίην*] *ἰταλίαν Ψ* 449 *Ἀσὶς*] *ἀσσὶς Φ Ψ* *τότε πάμμορος*] *ipse temptavi, τότε πάμφορος Φ Ψ, ποτὲ πάμφορος Alexandre suspicatus est* 450 *Κρήτη*] *L, κρήτης codd. cett.* 451 *αἰάξει*] *Alexandre, αἴξει Φ Ψ* *ὥς τε νοῆσαι*] *= V 65, 351* 453 *ᾐόνος*] *Castalio, ἠιόνος Φ Ψ* *ἄμμος*] *ipse conieci, αὖθις Φ Ψ* 454 *χθόνα—ἐξολοθρεύσει*] *cf. XII 102 Ἀσσυρίην ὀλοθρεύσει* 455 *ἐς*] *εἰς codd.* 456 *δεινός σε*] *σε om. B* *μένει*] *μένη P, an μενεῖ?* 457 *κλαύσωνται*] *κλαύσονται L Alexandre* 458 *ὅτ' ἐπαύσατ'*] *Betuleius, ὅτ' ἐπαύσετ' P Ψ, ὅτε παύσετ' A* 459 *ἀναιδεῖς*] *suspicatus est Alexandre (cf. V 314, 359), ἀηδεῖς Φ Ψ* 460 *δ' εἰς*] *ipse dedi, κεὶς Φ, καὶ εἰς Ψ, εἰς Volkmann* 461 *Μακηδονίῃ*] *μακεδονίῃ Ψ* *ἐν Ἀσίδι*] *ἐν (om. A) ἀσσίδι Φ, ἐν ἀσίῃ Ψ* *Λιβύεσσιν*] *Alexandre, λυκίοισι Φ Ψ* 462 *κοσμομανὴς πόλεμος*] *= V 362* *κοσμομανὴς*] *e l. c. correxit Alexandre (rectam scripturam in suo codice hoc loco legisse hariolatus est Gallaeus); κοσμοχαρὴς Φ, κοσμοβαρὴς Ψ* 463 *βασιλεὺς*] *βασιλεῖς Ψ*

V χειμερίη, ὁπότ' ἂν ῥιπὴ στάξῃ χιονώδης
πηγνυμένου μεγάλου ποταμοῦ λιμνῶν τε μεγίστων,
εὐθὺς βάρβαρος ὄχλος ἐς Ἀσίδα γαῖαν ὁδεύσει
καὶ Θρῃκῶν ὀλέσει δεινῶν γένος οὐκ ἀλαπαδνόν.
καὶ τότ' ἀθεσμοβόροι μέροπες κατέδουσι γονῆας
λιμῷ τειρόμενοι καὶ ἔγκατα λαφάσσονται.
πάντων δ' ἐκ μελάθρων θῆρες κατέδουσι τράπεζαν,
αὐτοί τ' οἰωνοί τε βροτοὺς κατέδουσιν ἅπαντας.
ὠκεανὸς νεκύων πλησθήσεται ἐκ ποταμοῖο
αἱματόεις σαρξίν τε καὶ αἵματι τῶν ἀνοήτων.
εἶθ' οὕτως ὀλιγηπελίη ἔσται κατὰ γαῖαν,
ὥς τε νοεῖν ἀνδρῶν τ' ἀριθμὸν μέτρον τε γυναικῶν.
μυρία δ' οἰμώξει δειλὴ γενεὴ κατὰ τέρμα
ἠελίου δύνοντος, ἵν' ἔμπαλι μηκέτ' ἀνέλθοι,
ὠκεανοῦ μείνας ἵν' ἐφ' ὕδασι βαπτισθείη·
πολλῶν γὰρ μερόπων εἶδεν κακότητας ἀνάγνους.
ἔσται δὲ σκοτόμαινα περὶ μέγαν οὐρανὸν αἰνή,
ἀχλὺς δ' οὐκ ὀλίγη κόσμου πτύχας ἀμφικαλύψει
δεύτερον· αὐτὰρ ἔπειτα θεοῦ φάος ἡγεμονεύσει
ἀνδράσι τοῖς ἀγαθοῖσιν, ὅσοι θεὸν ἐξύμνησαν.
Ἶσι, θεὰ τριτάλαινα, μενεῖς ἐπὶ χεύμασι Νείλου
μούνη, μαινὰς ἄτακτος ἐπὶ ψαμάθοις Ἀχέροντος,

484 sq.] Clemens Alex. Protrept. IV 50 = vol. I p. 55, 12—15 Dindorf: *τὸν δὲ Ἴσιδος καὶ Σαράπιδος ἐν Αἰγύπτῳ κατενεχθήσεσθαί φησι (Σίβυλλα) καὶ ἐμπρησθήσεσθαι: 484 "Ἶσι — 485 Ἀχέροντος"*

465 *πηγνυμένου—ποταμοῦ] an πηγνυμένων μεγάλων ποταμῶν?* 466 *ἐς—ὁδεύσει] = III 367* 467 *Θρῃκῶν] Θρᾳκῶν codd. δεινῶν] Φ, δεινὸν Ψ οὐκ ἀλαπαδνόν] = III 465 οὐκ] correxi, ὡς Φ Ψ* 468] *cf. V 224 ὥς τε φαγεῖν σάρκας γονέων βασιλῆας ἀνάγνους τότ' ἀθεσμοβόροι] coniecit Nauck coll. ἀθεσμοφάγοι Maneth. IV 564, τότε θυμοβόροι Φ Ψ γονῆας] γονέας Ψ* 469 *ἔγκατα] ipse conieci, ἐδέσματα codd., αἵματα Mendelssohn, ἀθέσφατα (atrocia) Klouček λαφάσσονται] φάσσονται superscripto manu recentiore λαιμάσσονται ἀντὶ τοῦ ἐσθίουσι B, λαφάξονται Alexandre suspicatus est* 470 *κατέδουσι τράπεζαν] κατέδουσιν ἅπαντας Ψ verbis κατέδουσι—βροτοὺς omissis* 472 *νεκύων] ipse emendavi, τε κακῶν Φ Ψ ἐκ ποταμοῖο] magnopere suspectum; fortasse ἐκκλυσθέντων, cui ἐκ ποταμοῖο adscriptum in textum irrepsit* 473 *σαρξίν τε καὶ αἵματι] correxi, σάρκας τε καὶ αἵματα Φ Ψ* 473 *ὀλιγηπελίη] anonymi Londinensis et Parisinus correxerunt (cf. VII 63), ὀλίγη πελιὴ A, ὀλίγη ποελιὴ P, ὀλίγη πολιή S B, ὀλίγη πολιῆς Ψ ἔσται] ipse dedi, ἔσσεται Φ Ψ, ἔσεται Castalio* 475 *ἀριθμὸν] ἀριθμῶν F κατὰ τέρμα | ἠελίου] cf. V 361 περὶ τέρμα σελήνης* 477 *ἀνέλθοι] dedi, ἀνέλθῃ Φ Ψ* 478 *ἵν'] ἵνα F βαπτισθείη] βαπτισθείῃ A* 479 *εἶδεν] οἶδε Ψ* 480 *ἔσται δὲ σκοτόμαινα] cf. I 375 VIII 306 XII 74 νὺξ ἔσται σκοτόεσσα αἰνή] ipse temptavi, αὐτόν Φ Ψ, ἁγνόν Meineke* 482 *δεύτερον] post hanc vocem recte interpunxit Castalio* 483 *ἀνδράσι τοῖς] an ἀνθρώποις? ὅσοι—ἐξύμνησαν] = V 491* 484 *Ἶσι] Clemens, ἴσση (ἰσ̣σ̣η superscr. ση P) Φ, ἴση Ψ μενεῖς] Clemens (μένεις Clementis cod. P = Paris. 451 saec. X, μὲν εἰς cod. N), μενεῖς δ' codd. Sibyll. ἐπὶ χεύμασι Νείλου] cf. XI 176, 254 XIV 329 παρὰ χεύμασι Νείλου ἐπὶ] an παρὰ e ll. cc.? χεύμασι] sic Clementis cod. V, χεύματι Clementis codd. cett.* 485 *ἄτακτος] ἄναυδος Clemens ψαμάθοις] ψαμμάθοις P*

V κοὐκ ἔτι σου μνείη γε μενεῖ κατὰ γαῖαν ἅπασαν.
καὶ σύ, Σάραπι λίθους ἀργοὺς ἐπικείμενε πολλούς,
κείσῃ πτῶμα μέγιστον ἐν Αἰγύπτῳ τριταλαίνῃ.
ὅσσους δ' Αἰγύπτου πόθος ἤγαγεν ἔς σέ γ', ἅπαντες
κλαύσονταί σε κακῶς· νοῦν δ' ἄφθιτον ἐν φρεσὶ θέντες
γνώσονταί σε τὸ μηδέν, ὅσοι θεὸν ἐξύμνησαν.
καί ποτέ τις ἐρέει ἱερεὺς λινόστολος ἀνήρ·
'δεῦτε, θεοῦ τέμενος καλὸν στήσωμεν ἀληθές·
δεῦτε, τὸν ἐκ προγόνων δεινὸν νόμον ἀλλάξωμεν,
τοῖο χάριν λιθίνοισι καὶ ὀστρακίνοισι θεοῖσιν
πομπὰς καὶ τελετὰς ποιούμενοι οὐκ ἐνόησαν.
στρέψωμεν ψυχὰς θεὸν ἄφθιτον ἐξυμνοῦντες,
αὐτὸν τὸν γενετῆρα, τὸν ἀίδιον γεγαῶτα,
τὸν πρύτανιν πάντων, τὸν ἀληθέα, τὸν βασιλῆα,
ψυχοτρόφον γενετῆρα, θεὸν μέγαν αἰὲν ἐόντα.'
καὶ τότ' ἐν Αἰγύπτῳ ναὸς μέγας ἔσσεται ἁγνὸς
κεὶς αὐτὸν θυσίας οἴσει λαὸς θεότευκτος.
κείνοισιν δώσει θεὸς ἀφθάρτως βιοτεύειν.
ἀλλ' ὅτ' ἂν ἐκπρολιπόντες ἀναιδέα φῦλα Τριβαλλῶν
Αἰθίοπες μέλλωσιν ἑὴν Αἴγυπτον ἀροῦσθαι,
ἄρξονται κακότητος, ἵν' ὕστερα πάντα γένηται.
ναὸν γὰρ καθελοῦσι μέγαν Αἰγυπτιάδος γῆς·
ἐν δὲ θεὸς βρέξει κατὰ γῆς δεινὸν χόλον αὐτοῖς,
ὥς τ' ὀλέσαι πάντας τε κακοὺς πάντας τ' ἀνοήτους.

501 sq.] Es. 19, 19 et 21

487 sq.] Clemens Alex. Protrept. IV 50 = vol. I p. 55, 16 Dindorf: *εἶτα ὑποβᾶσα (Σίβυλλα)·* 487 *'καὶ σύ'* — 488 *'τριταλαίνῃ'*

486 *μνείη γε μενεῖ] μνεία γε μένει codd., an μνεία μενέει?* 487 *Σάραπι] Clemens, σέραπι codd. Sibyll.* *λίθους—πολλούς] Clemens, λίθοις ἐπικείμενε πολλὰ μογήσεις codd. Sibyll.* 488 *κείσῃ] κεῖσαι Clementis codd.* 489 *ὅσσους—ἤγαγεν] ipse scripsi, ὅσσοι δ' Αἰγύπτου πόθον ἤγαγον Φ Ψ* *ἔς σέ γ'] ipse correxi, εἰς σέ Φ Ψ* 490 *νοῦν δ'] δ' addidit anonymus Londin., om. Φ Ψ* *φρεσὶ] χερσὶ Ψ* 491 *ὅσοι—ἐξύμνησαν] = V 483* 492 *καί—ἱερεὺς] ipse emendavi, καί τις ἐρεῖ τῶν ἱερέων (ἱερῶν Ψ) Φ Ψ* *λινόστολος] Dausqueius (idem Huetius et postea Struve), quibus Castalio praeiverat vertens 'amictus lino'; λινσόσσιος (λισόσσιος p auctore Opsopoeo) Φ, λινσύσσιος Ψ* 493 *στήσωμεν] στήσομεν P* 494 *τὸν] τῶ A* 495 *τοῖο χάριν] Volkmann, τοῦ χάρις ἢ (οἳ A) Φ Ψ, τοῦ χάριν ἢ Opsopoeus* *λιθίνοισι—θεοῖσιν] cf. V 356 λιθίνοισι θεοῖσιν V 82 θεοὺς ξυλίνους λιθίνους τε* *λιθίνοισι καὶ] ipse scripsi, λιθίνοις καὶ Φ Ψ, (ἢ) λιθίνοις ἢ Alexandre* *ὀστρακίνοισι] ὀστρακίνοις Ψ* 497 *στρέψωμεν] στέψωμεν A* *θεὸν—ἐξυμνοῦντες] cf. V 483, 491 ὅσοι θεὸν ἐξύμνησαν* 498 *τὸν γενετῆρα] suspectum propter v. 500* 499 *τὸν πρύτανιν πάντων] = V 277* 500 *ψυχοτρόφον] τὸν ψυχοτρόφον Φ, ψυχοτρόφον τὸν Ψ, restituit Castalio* 501 *ἔσσεται] Castalio, ἔσται Φ Ψ* 502 *αὐτὸν] Ψ, αὐτὰς Φ* *θεότευκτος] A Ψ, θεότακτος P B S* 503 *κείνοισιν] κείνοισι A Ψ* *ἀφθάρτως] ipse correxi, ἀφθίτως (e v. 497) Φ Ψ* 504 *Τριβαλλῶν] τρυβαλλῶν P* 505 *μέλλωσιν] scripsi, μείνωσιν Ψ, μείνωσ' Φ, μέλλωσ' Alexandre* *ἑὴν Αἴγυπτον] transposui, Αἴγυπτον ἑὴν Ψ, Αἴγυπτον ἑήν τε Φ, Αἰγύπτου γαῖαν Alexandre* 506 *ἄρξονται] ἄρξοντα A* *ὕστερα πάντα] ὕστερον ἅπαντα Ψ* 507 *ναὸν] νηὸν codd.* 509 *τ' ἀνοήτους] scripsi, τ' ἀνόμους τε Φ Ψ, γ' ἀνόμους τε Opsopoeus, τ' ἀνομοῦντας anonymus Londin.*

V κοὐκ ἔτι δὴ φειδώ τίς γ' ἔσσεται ἐν χθονὶ κείνῃ,
ἀνθ' ὧν οὐκ ἐφύλαξαν, ὅ περ θεὸς ἐγγυάλιξεν.
'Ηελίου φαέθοντος ἐν ἀστράσιν εἶδον ἀπειλὴν
ἠδὲ Σεληναίης δεινὸν χόλον ἐν στεροπῇσιν·
ἄστρα μάχην ὤδινε· θεὸς δ' ἐπέτρεψε μάχεσθαι.
ἀντὶ γὰρ 'Ηελίου μακραὶ φλόγες ἐστασίαζον·
Φωσφόρος ἦρχε μάχης ἐπιβὰς ἐς νῶτα Λέοντος·
ἠδὲ Σεληναίη δίκερων ἠλλάξατο εἶδος·
Αἰγόκερως ἔπληξεν ὁμοῦ Ταύροιο τένοντα·
Ταῦρος δ' Αἰγοκέρωτος ἀφήρπασε νόστιμον ἦμαρ.
καὶ Ζυγὸν 'Ωαρίων ἀπενόσφισε μηκέτι μεῖναι·
Παρθένος ἐν Κριῷ Διδύμων ἠλλάξατο μοῖραν·
Πλειὰς δ' οὐκ ἔτ' ἔφαινε· Δράκων δ' ἠρνήσατο Ζώνην·
'Ιχθύες εἰσεδύοντο κατὰ ζωστῆρα Λέοντος.
Καρκίνος οὐκ ἐπέμεινεν, ἔδεισε γὰρ 'Ωαρίωνα·
Σκορπίος οὐρῇ ἐπῆλθε κατὰ δεινοῖο Λέοντος·
ἠδὲ Κύων ὤλισθεν ἀπὸ φλογὸς 'Ηελίοιο·
'Υδροχόος δ' ἐπύρωσε μένος κρατεροῖο Φαεινοῦ.
ὦρτο μὲν Οὐρανὸς αὐτός, ἕως ἐτίναξε μαχητάς·
θυμωθεὶς δ' ἔρριψε καταπρηνεῖς ἐπὶ γαῖαν.
ῥίμφα μὲν οὖν πληγέντες ἐπ' 'Ωκεανοῖο λοετρὰ
ἧψαν γαῖαν ἅπασαν· ἔμεινε δ' ἀνάστερος αἰθήρ.

531] *hinc fortasse* Lactantius div. inst. VII 16, 10 = vol. I p. 636, 19 sq. Brandt: ut caelum omne caecum sine ullis luminibus appareat

510 *δὴ] σοι Ψ φειδώ τις] φειδωλὴ Ψ γ' ἔσσεται] γ' ἔσετ' Ψ* 511 *ὧν] ὧν δ' P ἐφύλαξαν] ἐφύλαξαν (αν ex εν corr.) P, ἐφύλαξας Ψ ὅ περ θεὸς ἐγγυάλιξεν] cf.* Γ *415 ὅ οἱ θεὸς ἐγγυάλιξεν ὅ περ] ipse dedi, ὅ μιν Φ Ψ* 513 *ἐν στεροπῇσιν] ἀστεροπῇσιν L* 514 *μάχην] Castalio, μάλ' ἦν (μελλὴν B) codd.* 516 *ἦρχε μάχης] anonymus Parisin., ἔσχε μάχης (μάχην A) Φ, ἴσχε μάχην Ψ ἐς] εἰς Ψ* 517 *ἠδὲ] ἡδὲ Ψ Σεληναίη δίκερων ἠλλάξατο εἶδος] ipse templavi (cf. 521), σεληναίης δίκερος (δίκερως F, δίκαιρος L) ἠλλάξατ' ὀιζύς Φ Ψ, Σεληναίης δίκερως ἠλλάξατο ἴτυς Alexandre* 518 *Αἰγόκερως] Ψ, αἰγόκερος Φ ἔπληξεν] δ' ἔπληξε A, πλήξειε F ὁμοῦ] ipse suspicatus sum, νέον Φ Ψ* 519 *ἀφήρπασε] ἐφήρπασε F νόστιμον ἦμαρ] =* Γ *91* 520 *'Ωαρίων] Nauck dubitans, ὠρίων Φ Ψ* 521 *Διδύμων] διδύμω (διδύμῳ A) Φ* 524 *Καρκίνος] καρκῖνος Φ Ψ ἐπέμεινεν] scripsi, ἐνέμεινεν Φ Ψ 'Ωαρίωνα] Nauck dubitans, ὠρίωνα Φ Ψ* 525 *οὐρῇ ἐπῆλθε] ipse templavi, οὐρὰν ἐπῆλθε Φ Ψ, οὐρὰν ἐπῆλθε coniecit Alexandre κατὰ] ipse dedi, διὰ codd.* 526 *ἠδὲ] A, ἡ δὲ codd. cett. (cf.* Γ *513) κύων] κύων A ὤλισθεν] ὠλίσθησεν Ψ* 528 *αὐτός] αὐτούς Ψ* 531] *ἧψαν] ῥίψαν A Ψ* 531] *additum: στίχοι φλη in F L*

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ ΧΡΗΣΜΩΝ
ΛΟΓΟΣ ΕΚΤΟΣ

VI *Ἀθανάτου μέγαν υἱὸν ἀοίδιμον ἐκ φρενὸς αὐδῶ,*
ᾧ θρόνον ὕψιστος γενέτης παρέδωκε λαβέσθαι
οὔ πω γεννηθέντι· ἐπεὶ κατὰ σάρκα δοθεῖσαν
ἠγέρθη, προχοαῖς ἀπολουσάμενος ποταμοῖο
Ἰορδάνου, ὃς φέρεται γλαυκώπιδα κύματα σύρων,
ἐκ πυρὸς ἐκφεύξας πρῶτος θεοῦ ὄψεται ἡδὺ
πνεῦμ' ἐπιγινόμενον λευκῆς πτερύγεσσι πελείης.
ἀνθήσει δ' ἄνθος καθαρόν, βρύσουσι δὲ πηγαί.
δείξει δ' ἀνθρώποισιν ὁδούς, δείξει δὲ κελεύθους
οὐρανίας· πάντας δὲ σοφοῖς μύθοισι διδάξει.
ἥξει δ' ἔς τε δίκην καὶ πείσει λαὸν ἀπειθῆ

2] Psalm. 109, 1 Luc. 1, 32 6] Sapient. Salom. 7, 22; 12, 1 7] Matth. 3, 16 Marc. 1, 10 Luc. 3, 22 8] Ezech. 47, 1 sqq.

7] Lactantius div. inst. IV 15, 3 = vol. I p. 329, 20— p. 330, 1 Brandt: et descendit super eum spiritus dei formatus in specie columbae candidae 8] Lactantius div. inst. IV 13, 21 = vol. I p. 322, 4—7 Brandt: Iesse autem fuit pater David, ex cuius radice ascensurum esse florem praelocutus est, eum scilicet, de quo Sibylla dicit: 8 'ἀνθήσει δ' ἄνθος καθαρόν'

Inscriptio: ἐκ τῶν προφητικῶν σιβύλλης λόγος (λόγον *Π*) ϑ̄ *V Π (rubricatis litteris Π); nihil habet M, Q hoc loco lacer et detritus;* λόγος ἕκτος *addito* ἑτέρας εἶναι ταῦτα δοκεῖ (δοκεῖ ταῦτα *Α*) *Φ (cf. Lactantium div. inst. IV 15, 25 = I p. 335, 3 Brandt, qui alius Sibyllae esse dicit VI 13 sqq. atque VIII 273 sq.);* λόγος ἕκτος *F L* 1—9] *pauca ex his versibus legi possunt in Q hic partim lacero, partim magnopere detrito* 1 ἐκ] ἐν *P* 2 γενέτης] *om. Ω, additum in margine m² in Π* 3 οὔ πω γεννηθέντι] *Ω,* μή που γεννηθέντος (γενηθέντος *Α*) *Φ Ψ* ἐπεὶ] ἐπὶ *L* κατὰ] *Ω,* διὰ *Φ, om. Ψ* σάρκα] σάρκασ *P* δοθεῖσαν] *Ω,* τὸ δισσὸν *Φ Ψ* 4 προχοαῖς— Ἰορδάνου] *cf. VII 67 sq.* ὅς ποτ' ἔλουτο | Ἰορδάνου ἐν προχοῇσι προχοαῖς] προχοαῖς δ' *Φ Ψ* 5 γλαυκώπιδα κύματα] *ipse temptavi,* γλαυκώπιδι κύματι (κύμασι *V*) *Ω,* γλαυκῷ ποδὶ κύματα *Φ,* γλαυκῷ ποδὶ κῦμα *Ψ* 6 ἐκ] *Φ Ψ,* ὃς *Ω* ἐκφεύξας] *Ω,* ἐκ (ἐν *P*) πρώτου *Φ Ψ* ἐκ πυρὸς ἐκφεύξας] *cf. VII 84* δι' οὗ πυρὸς ἐξεφαάνθης θεοῦ ὄψεται ἡδὺ | πνεῦμ' ἐπιγινόμενον] *Fabricius,* θεὸν ὄψεται ἡδὺν πνεύματι γεννηθέντα *(corruptum ex v. 3) Ω,* θεὸς ὅς τε καὶ ἡδὺν πνεύματι γινόμενον *Φ,* θεὸς ὅτε ἡδὺν πνεύματι γινόμενον *Ψ* 7 λευκῆς πτερύγεσσι πελείης] *Fabricius,* 'columbae candidae' *Lactantius; cf. Evang. infantiae arabicum 54 = Evang. apocrypha ed. Tischendorf p. 201:* 'praesente spiritu suo in forma columbae candidae'; λευκαῖς πτερύγεσσι πελείης (πελίης *F*) *Ω Φ Ψ* 8 καθαρόν] *ΚΑΘΑΡΩΝ Sedulius* βρύσουσι] *Ω,* βρύουσι *Φ Ψ* πηγαί] *Ω,* πάντα *Φ Ψ* 10 οὐρανίας] *Ω,* οὐρανίους *Φ Ψ* μύθοισι] μύθοις *P* 11 ἥξει] *Ω,* ἄξει (ὤξει *Α*) *Φ Ψ* καὶ πείσει] *Φ Ψ,* καὶ πιάσει (πιάσει *Π*) *Ω* λαὸν ἀπειθῆ] *eadem versus sede I 204 III 668 VIII 301* ἀπειθῆ] *coniecit Alexandre,* ἀπεχθῆ *Ω Φ Ψ*

VI αἰνετὸν αὐχήσας πατρὸς γένος οὐρανίδαο.
κύματα πεζεύσει, νόσον ἀνθρώπων ἀπολύσει,
στήσει τεθνηῶτας, ἀπώσεται ἄλγεα πολλά·
ἐκ δὲ μιῆς πήρης ἄρτου κόρος ἔσσεται ἀνδρῶν.
οἶκος δι' ἂν Δαυὶδ φύῃ φυτόν· ἐν χερὶ δ' αὐτοῦ
κόσμος ὅλος καὶ γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα.
ἀστράψει δ' ἐπὶ γῆν, οἷόν ποτε φῶτα φανέντα
εἶδον ἀπ' ἀλλήλων πλευρῶν δύο γεννηθέντε.
ἔσσεται, ἡνίκα γαῖα χαρήσεται ἐλπίδι παιδός.
σοὶ δὲ μόνῃ, Σοδομῖτι γαίῃ, κακὰ πήματα κεῖται·
αὐτὴ γὰρ δύσφρων τὸν σὸν θεὸν οὐκ ἐνόησας
παίζοντα θνητοῖσι νοήμασιν· ἀλλ' ἀπ' ἀκάνθης

21] Es. 1, 9 Hierem. 23, 14 Ezech. 16, 48 Ioann. Apocal. 11, 8

13—15] Lactantius div. inst. IV 15, 25 = vol. I p. 335, 3—6 Brandt: et rursus alia *(Sibylla)*, quae dicit: 13 'κύματα' — 15 'ἀνδρῶν' 22—24] Lactantius div. inst. IV 18, 20 = vol. I p. 354, 8— p. 355, 1—3 Brandt: et alia Sibylla Iudaeam terram his increpat versibus: 22 'αὐτὴ' — 24 'ἐκέρασσας', *unde hausit* Augustinus de civ. dei 18, 23 = vol. II p. 287, 28 sqq. Dombart: ipsa enim insipiens tuum deum non intellexisti ludentem mortalium mentibus, sed et spinis coronasti et horridum fel miscuisti

12 *αὐχήσας] αὐχησ . . Q, αὐχείσας καὶ V, αὐχεῖ καὶ H* 13 *κύματα πεζεύσει] = I 356 πεζεύσει, νόσον ἀνθρώπων] Lactantius (sic Sedulius, sed ΠΑΥΖЄΥϹΙ), πεζεύσει, νόμους δ' ἀνδρῶν Ψ, πεζεύσειε νόμοις (νόμους suprascripto οις M) τ' ἀνθρώπους Ω, πεζεύσειε (πεζεύσεις P), νόσους δ' ἀνδρῶν Φ, πεζεύσει, νούσους δ' ἀνδρῶν Castalio, πεζεύσειε, νόσους δ' ἀνδρῶν Alexandre coniecit νόσον—ἀπολύσει] cf. I 351 καὶ τότε δὴ νοσεροὺς ἰήσεται ἀπολύσει] ἀπολύει Ω* 14 *στήσει τεθνηῶτας] cf. I 355 VIII 205 νεκρῶν δ' ἐπανάστασις ἔσται τεθνηῶτας, ἀπώσεται] Lactantius, τεθνηῶτας (τεθνιῶτας H, with η written above), ἀποίσεται Ω, τεθνεότας, κἀπώσεται P, τεθνεώτας (supra ω scripto ο), κἀπώσεται A, τεθνεῶτας κἀπώσεται Ψ πολλά] Ω Lactantius, λυγρά Φ Ψ* 15] *cf. I 357 sq. VIII 275 sq. μιῆς] μιᾶς Ψ πήρης] Lactantius (qui praeterea div. inst. IV 27 = vol. I p. 385, 16 Brandt sic ait:* 'at illi quinque panes et dues pisces in pera se habere dixerunt'), *ΠΗΤΗϹ cod. V Lactanti Sedulius; σπείρης Ω, ῥίζης Φ Ψ*
16 *Δαυὶδ] Ψ, δᾶδ Ω Φ χερὶ] χειρὶ Q M L* 17 *κόσμος ὅλος] = I 162, 189 II 21 καὶ - θάλασσα] cf. III 20 καὶ οὐρανὸν ἠδὲ θάλασσαν* 18 *γῆν] Ω, γῆς Φ Ψ φῶτα] Ω, πρῶτα Φ Ψ φανέντα] φανέντος Ω* 19—21] *cum priore versus 22 hemistichio evanuerunt in Q* 19 *εἶδον] εἶδος Ω γεννηθέντε] anonymus Paris., γεννηθέντα Ω (excepto H, qui exhibet γεννηθέντι) Φ Ψ, γεννηθέντες Alexandre* 20 *ἔσσεται] Ω, ἔσται Φ Ψ χαρήσεται] χαρίσεται Ω* 21 *Σοδομῖτι] σοδομῆτι Ω, σοδομίτι Φ Ψ, Σολυμῖτι anonymus Londin. γαίῃ] om. Ω κακὰ—κεῖται] cf. VI 25 κακὰ πήματα τεύξει κεῖται] κείσεται Ω* 22 *αὐτὴ] αὕτη Ω δύσφρων] δύσφρον Ψ, ΆΦΡΩΝ cod. S Lactanti, ϹΥΝΦΡΩΝ eiusdem cod. V, ϹΙΝΦΡΩΝ Sedulius τὸν - ἐνόησας] cf. VII 53 ὅτι δὴ θεὸν οὐκ ἐνόησαν VII 66 οὐκ ἔγνως τὸν σὸν θεόν τὸν σὸν] τόσσον Ω, σὸν (om. τὸν) codd. S P Lactanti, ΤΩΝ ΣΟΝ Sedulius θεὸν] Ω Lactantius,* 'tuum deum' *Augustinus, νόμον Φ Ψ οὐκ ἐνόησας] Φ Ψ Lactantius,* 'non intellexisti' *Augustinus, οὐκ ἐνόησεν Ω* 23 *παίζοντα—νοήμασιν] Lactantius (ΠЄΖΟΝΤΑ ΘΝΗΤΟΙΟ codd. S P, ΠЄΞΟΝΤΑ ΘΝΗΤΟΙϹ cod. V, ΠΑΙΖΟΝΤΑ ΘΝΗΤΟΙΟ B R, ΠЄΞΟΝΤΑ ΘΝΗΤΟΥϹ ΝΟΗΜΑϹΙΝ Sedulius),* 'ludentem mortalibus mentibus' *Augustinus, παίζοντ' ἐν θνητοῖο νοήμασιν Struve, πταίοντα θνητοῖσι νοήμασιν Φ Ψ, ἐλθόντα θνητοῖσιν ἐν ὄμμασιν (ἐννόμασιν H, with μ written above) Ω ἀλλ'—στεφάνῳ] cf. VIII 294 sq. ἐκ γὰρ ἀκανθῶν | τὸ στέφος ἐκλεκτῶν ἁγίων αἰώνιον ἥξει ἀλλ' ἀπ' ἀκάνθης] ἀλλ' ἐπ' ἀκάνθης Φ, ΑΛΛΑ ΑΚΑΝΘΗϹ Sedulius, ΑΛΛΑ ΑΚΑΝΘЄϹ Lactanti cod. S*

VI ἔστεψας στεφάνῳ, φοβερὴν δὲ χολὴν ἐκέρασσας
εἰς ὕβριν καὶ πνεῦμα· τό σοι κακὰ πήματα τεύξει.
ὦ ξύλον ὦ μακαριστόν, ἐφ᾽ οὗ θεὸς ἐξετανύσθη·
οὐχ ἕξει σε χθών, ἀλλ᾽ οὐρανὸν οἶκον ἐσόψει,
ἡνίκ᾽ ἂν ἀστράψειε τὸ σόν, θεός, ἔμπυρον ὄμμα.

24] Psalm. 68, 22   28] Ioann. Apocal. 19, 12

26] Sozomenus hist. eccles. II 1 = p. 43 Valesius: *καὶ θαυμαστὸν οὔπω τοσοῦτον, ὅπου γε καὶ πρὸς αὐτῶν Ἑλλήνων συνωμολόγηται Σιβύλλης εἶναι τοῦτο·* 26 *'ὦ ξύλον' — 'ἐξετανύσθη'. τοῦτο γὰρ καὶ σπουδάζων τις ἐναντίος εἶναι οὐκ ἂν ἀρνηθείη· προὐσήμαινεν οὖν τὸ τοῦ σταυροῦ ξύλον καὶ τὸ περὶ αὐτοῦ σέβας* Anecdota Paris. ed. Cramer I p. 334, 20—24: *προέλαβε δὲ τὴν τοῦ Χριστοῦ παρουσίαν αὕτη ἡ Σίβυλλα ἔτη δισχίλια, ἧς ἐστι καὶ τοῦτο τὸ ἔπος τὸν τίμιον σταυρὸν προμηνύον·* 26 *'ὦ ξύλον' — 'ἐξετανύσθη'* Gregorius Nazianz. Carm. II 2, 7 (ad Nemesium) 246 = vol. II p. 1084 Caillau: *σταυρὸν δὲ σέβοι μέτροισι Σίβυλλα*

24 sq. φοβερὴν—πνεῦμα] cf. I 367 ἐς δὲ τὸ βρῶμα χολὴν καὶ ἐς ποτὸν ὄξος ἄκρατον | δυσσεβέως δώσουσι VIII 303 ἐς δὲ τὸ βρῶμα χολὴν καὶ πιέμεν ὄξος ἔδωκαν   δὲ] τε Lactantius   ἐκέρασσας] Lactantius (ЄΚЄΡΑCΑC codd. B P, ЄΡΑCΑC S), ἐκέρασας Φ Ψ, ἐκεέρασας Ω   25 εἰς—πνεῦμα] an ἐς βρῶσιν καὶ πῶμα?   εἰς] εἰ V H   πνεῦμα· τό σοι] scripsi. πνεύματος οἵ (οἳ H) Ω, πνεύματός σοι Ψ, πνεῦμα (πνεύμα A) τί σοι Φ, πῶμα· τό σοι Alexandre; vix conicere licet πῆμα· τό σοι et βρῶμα· τό σοι (ex I 367 VIII 303)   26 ὦ—μακαριστόν] ὦ μακάριστόν γ᾽ ὦ ξύλον Ψ, ὦ ξύλον μακαριστόν Sozomenus   ἐφ᾽ οὗ] Ω Sozomenus, ὑφ᾽ οὗ Anecd. Paris. ed. Cramer, ἐφ᾽ ᾧ Φ, ᾧ Ψ   27 οὐχ ἕξει σε χθών] Castalio, οὐχ ἕξει σ᾽ (ἕξεις P) οὐ χθὼν Φ, οὐχ ἕξεις οὐκέτι χθὼν Ψ, οὐχ ἕξεις ἐχθρόν Ω   οὐρανὸν] fortasse οὐρανοῦ scribendum est   28 ἡνίκ᾽ ἂν ἀστράψειε] Alexandre dubitans coniecit, ἡνίκα δ᾽ ἀστράψει Ω, ἡνίκα ἀστράψῃ (ἀστράψει superscripto η A) Φ, ἡνίκ᾽ ἀστράψεις Ψ   τὸ σόν, θεός] ex Ω restituendum esse monuit Alexandre, τόσον (τόσσον M) θεός (θσ superscripta ῡ H) Ω, τὸ νέον θεοῦ Φ Ψ   ἔμπυρον] ἔμπειρον L   28] subscriptio: στίχοι ξη F L; in Ω interstitio nullo sequitur versus, quem Alexandre in capite libri septimi collocavit (1 ὦ 'Ρόδε κτλ.); tum ad acrostichidem Christi (VIII 218 sqq.) transitur

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ ΧΡΗΣΜΩΝ
ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ

VII Ὦ Ῥόδε, δειλαίη σύ· σὲ γὰρ πρώτην, σὲ δακρύσω·
ἔσσῃ δὲ πρώτη πόλεων, πρώτη δ' ἀπολέσσῃ,
ἀνδρῶν μὲν χήρη, βιότου δέ τε πάμπαν ἀδευνής.
Δῆλε, σὺ μὲν πλεύσεις καὶ ἐφ' ὕδατος ἄστατος ἔσσῃ·
Κύπρε, σὲ δ' ἐξολέσει γλαυκῆς ποτε κῦμα θαλάσσης·
Σικελίη, φλέξει σε τὸ καιόμενον κατὰ σοῦ πῦρ.
* * *
οὐδ' ἀλέγειν τὸ θεοῦ φοβερὸν καὶ ἐπήλυτον ὕδωρ.
* * *
Νῶέ τις ἐκ πάντων μοῦνος φυγὰς ἤλυθεν ἀνδρῶν.
* * *
πλεύσει γῆ, πλεύσειε δ' ὄρη, πλεύσει δὲ καὶ αἰθήρ.
ὕδωρ ἔσται ἅπαντα καὶ ὕδασι πάντ' ἀπολεῖται.
στήσονται δ' ἄνεμοι καὶ δεύτερος ἔσσεται αἰών.
ὦ Φρυγίη, πρώτη δ' ἀναλάμψεις ὕδατος ἄκρου·
πρώτη δ' εἰς ἀσέβειαν ἀπαρνήσῃ θεὸν αὐτὸν
ἄλλοις εἰδώλοις κεχαρισμένη, ὅσσα σε, δειλή,

Inscriptio: ἐκ τοῦ ἑβδόμου λόγου Φ F L 1] *hic versus in fine libri sexti legitur in* Ω, *unde eum huc transtulit Alexandre; deest in* Φ Ψ ὦ Ῥόδε] ὦ ροδε Q, ὦ ροδε M, ὤροδε V H δειλαίη σύ, σε] *Alexandre,* δειλαίη σε σὲ M V, δειλαίησ σέ H. δειλαίη σὲ Q 2 ἀπολέσσῃ] *Alexandre,* ἀπολεῖ σε Φ Ψ 3 χήρη] χείρη A δέ τε] *ipse dedi, idque olim etiam Alexandro placuit,* δέ τι S, δέ P A, δέ γε Ψ. *utramque particulam om.* B ἀδευνής] *Meineke,* ἀδευκής Φ Ψ 4 ἔσσῃ] ἔσῃ Ψ 5] *cf. IV* 143 αἶ αἶ, Κύπρε τάλαινα, σὲ δὲ πλατὺ κῦμα θαλάσσης | κρύψει; *praeterea cf. IV* 129 γλαυκῆς . . . θαλάσσης] *cf. I* 11 γλαυκὴν . . . θάλασσαν *II* 198 γλαυκήν τε θάλασσαν γλαυκῆς] *Nauck,* γαμικῆς Φ Ψ 6] *cf. IV* 80 Σικελίην δὲ τάλαιναν ἐπιφλέξει μάλα πᾶσαν | χεῦμα πυρὸς μεγάλοιο 6] *post hunc et sequentes versus lacunas statuendas esse nemo non videt* 7] *cf. I* 183 τοῦθ' ὃ λέγω, τὸ θεοῦ φοβερὸν καὶ ἐπήλυτον ὕδωρ ἐπήλυτον] *emendavi ex I* 183, ἐπήρατον Φ Ψ 8] *cf. I* 125 μοῦνος δ' ἐν πάντεσσι δικαιότατος καὶ ἀληθὴς | ἦν Νῶε τις] τίς σ' A ἤλυθεν] ἦλθεν F 9—11] = *I* 193—195 9 γῆ] γῆν Ψ πλεύσειε δ' ὄρη] *Meineke,* πλεύσει δὲ ὄρη Φ Ψ, (πλεύσουσιν ὄρη *codd. I* 193, *quod hic praetulit Volkmann*) ἔσται ἅπαντα] *an* ἔσσεθ' ἅπαντα? 10 ἅπαντα] *ex I* 194 *restituendum,* πάντα Φ Ψ ἀπολεῖται] ἀπολεῖται αἰὼν A *ex versu proximo* 11] *om.* A, *excepta voce* αἰών, *quae versui superiori appicta est* στήσονται] καὶ στήσονται L 12] *cf. I* 196 ὦ Φρυγίη, πρώτη δ' ἀναδύσεαι ὕδατος ἄκρου 13 αὐτὸν] *ipse dedi,* αὐτὴ Φ Ψ 14 ἄλλοις εἰδώλοις] *cf. III* 31 εἰδώλοις τ' ἄλλοις (*Fragm. III* 31 ἄλλα τε πολλὰ μάταια); εἰδώλοις ἀλάλοις *coll. IV* 7 *VIII* 379 *Meineke et dubitans olim Alexandre* κεχαρισμένη] κεχαρημένη *Meineke, fortasse rectius* ὅσσα σε] ὅσα γε Ψ δειλή] *coniecit Castalio,* δείλη F, δήλη *codd. cett.*

VII ἐξολέσει πολλῶν περιτελλομένων ἐνιαυτῶν.
Αἰθίοπες δύστηνοι ὑπ' ἄλγεος οἰκτρὰ παθόντες
ῥομφαίαις πλήξονται ἐπὶ χθόνα πεπτηῶτες.
τὴν λιπαρὴν Αἴγυπτον ἀεὶ σταχύεσσι μέλουσαν,
ἣν Νεῖλος νηκτοῖς ὑπὸ χεύμασιν ἑπτὰ μεθύσκει,
ἀλλήλων ἔμφυλος ὀλεῖ στάσις· ἔνθεν ἀέλπτως
ἀνέρες ἐξελάσουσι τὸν οὐ θεὸν ἀνδράσιν Ἆπιν.
αἲ αἴ, Λαοδίκεια, σὺ δὴ θεὸν οὔ ποτ' ἰδοῦσα
ψεύσῃ, τολμηρή· κλύσσει δέ σε κῦμα Λύκοιο.

* * *

αὐτὸς ὁ γεννηθεὶς ὁ μέγας θεός, ὃς τέρα πολλὰ
ποιήσει, κρεμάσειε δι' αἰθέρος ἄξονα μέσσον,
στήσει δ' ἀνθρώποισι μέγαν φόβον ὑψόσ' ἰδέσθαι
κίονα † μετρήσας μεγάλῳ πυρί, οὗ ῥαθάμιγγες
ἀνθρώπων ὀλέσουσι γένη κακὰ τολμησάντων.
ἔσται γάρ ποτε κοινὸς ἄναξ χρόνῳ, ἔνθα δὲ φῶτες
ἐξιλάσουσι θεόν, ἀλλ' οὐ παύσουσιν ἀνίας
ἀκράντους. Δαυὶδ δὲ δι' οἴκου πάντα τελεῖται.
τῷ γάρ τ' αὐτὸς ἔδωκε θεὸς κράτος ἐγγυαλίξας·
οἱ δὲ διαγγελτῆρες ὑπαὶ ποσὶ κοιμήσονται,
οἵ τε πυρὰς ἅπτουσι καὶ οἳ ποταμοὺς φαίνουσιν,
οἵ τ' ἄστη σῴζουσι καὶ οἳ πέμπουσιν ἀήτας.

34] Ioann. Apocal. 16, 4 sq.

15 περιτελλομένων ἐνιαυτῶν] — *III 649* 16 ὑπ' ἄλγεος] *Alexandre*, ὑπ ἄλγεα Φ Ψ 17 ἐπὶ χθόνα] *Klouček*, ὑπὸ χρόα (χρῶα *P*) *codd.* 18 τὴν] *an* γῆν? λιπαρὴν] λιπαρὰν *A* μέλουσαν] μέλλουσαν Φ Ψ, *correxit Alexandre*, βρύουσαν *proposuit Castalio* 19 ἣν] ἢ *A* νηκτοῖς] *om.* Ψ χεύμασιν] *suspicatus est Alexandre*, κύμασιν *codd.*, *cf. V 484* ἐπὶ χεύμασι Νείλου *XI 176, 254 XIV 329* παρὰ χεύμασι Νείλου 20 ὀλεῖ στάσις] *dubitans coniecerat Alexandre, probavit Nauck coll. oraculo, quod legitur apud Cassium Dionem 57, 18 et 62, 18*, ἐλεῖ στάσις Ψ, ἐλεηδάσις Φ ἔνθεν] σέθεν *F* 21 οὐ θεὸν ἀνδράσιν] *volde suspectum, fortasse* οὔλιον ἀνδράσιν Ἆπιν] ἄπιν *F* 22 αἲ αἴ, Λαοδίκεια] = *V 290* σὺ δὴ θεὸν] *ipse scripsi*, σὺ δ' οὐ θεὸν Φ Ψ, *cf. v. 20* 23 κλύσσει] *correxi*, κλύσει *Alexandre*, καύσει Φ Ψ, κεύσει *censor editionis Alexandri* σε] *om.* Ψ Λύκοιο] λύκοισιν Φ 23] *lacunam subesse manifestum* 24 ὁ γεννηθεὶς] ὁ γεννητὴς *Bleek* ὃς τέρα] *Alexandre*, ἄστρ' ὃς Φ, ὃς ἄστρα Ψ; ποιήσει *ex initio versus sequentis huc retraxit F* 25 ποιήσει] ποιήσει *priori versui adsutum F* κρεμάσειε] *ipse temptavi*, κρεμάσει δὲ Φ Ψ μέσσον] μέσον Φ 26 ἀνθρώποισι] ἀνθρώποις Ψ ὑψόσ'] ὕψος Ψ 27 † μετρήσας] *corruptum* 28 τολμησάντων] *Klouček*, δηλησάντων (δηλωσάντων *L*) *codd.* 29 κοινὸς ἄναξ χρόνῳ] *Klouček*, καινὸς ἄναξ χρόνος *codd.*, κοινοῦ ἄναξ θρόνου *Bleek* ἔνθα δὲ] Φ Ψ, ἔνθα γε *coniecit Alexandre* 30 ἐξιλάσουσι] ἐξιλάσσουσι *P* θεόν] θεόν γ' *Opsopoeus* 31 ἀκράντους] *Friedlieb dubitans*, ἀχράντους *codd.*, *an* ἀκράτους? Δαυὶδ δὲ δι' οἴκου] *cf. VI 16* οἶκος . . . Δαυίδ Δαυὶδ] *F*, δᾱὶδ *P*, δαβὶδ *A B* πάντα τελεῖται] = *IV 47 VIII 215 XIV 299* 32 τ' αὐτὸς] αὐτῷ (*om.* τ') *A*, αὐτὸς Ψ κράτος] *ipse scripsi ex Hom. Λ 192*, χρόνος *P*, χρόνον (*e v. 29*) *codd. cett.*, θρόνον *Castalio* 33 διαγγελτῆρες] δὴ ἀγγελτῆρες *olim proposuit Volkmann* ὑπαὶ] ὑπὸ Ψ κοιμήσονται] κοιμηθήσονται Ψ 34 ἅπτουσι] *ipse conieci (cf. VIII 387)*, φαίνουσι Φ Ψ ποταμοὺς] *A*, ποταμοῖς *codd. cett.* φαίνουσιν] ἐμφαίνουσιν Ψ 35 ἄστη] ἄστυ *A*

VII πολλοῖς δ' αὖ χαλεπὸς βίος ἀνθρώποισιν ἔπεισιν
ἐσδύνων ψυχῇσι καὶ ἀλλάσσων φρένας ἀνδρῶν.
ἀλλ' ὅτ' ἂν ἐκ ῥίζης βλαστὸς νέος ὄμματα φύσῃ,
τὴν κτίσιν, ἥ ποτε πᾶσι τροφὴν διέδωκε περισσήν,

* * *

καὶ τὸ μὲν ἀμφὶ χρόνοις ἔσται πλέον. ἀλλ' ὅτ' ἂν ἄλλοι
ἄρξωνται, Περσῶν μαχίμων φῦλ', αὐτίκα δεινοὶ
ἔσσονται θάλαμοι νυμφῶν διὰ δύσνομα ἔργα.
ἕξει γὰρ μήτηρ ἑὸν υἱέα καὶ πόσιν· υἱὸς
μητέρα δηλήσει· θυγάτηρ δ' ἐπὶ πατρὶ κλιθεῖσα
βάρβαρον ὑπνώσει τοῦτον νόμον. ὕστερα δ' αὐτοῖς
ἐκλάμψει Ῥωμαῖος Ἄρης πολλῆς ἀπὸ λόγχης·
αἵματι δ' ἀνδρομέῳ πολλὴν χθόνα φυρήσουσιν.
Ἰταλίης δὲ πρόμος τότε φεύξεται ἐκ δορὸς ἀλκῆς.
λείψουσιν δ' ἐπὶ γῆς χρυσῷ κεχαραγμένον ἔγχος,
ὃ πρόμαχοι φορέουσ' αἰεὶ σημήιον ἀρχῆς.
ἔσται μάν, ὅτε πᾶσι κακὴ καὶ δύσμορος οἰκτρῶς
Ἰλιὰς ἐκτελέσει τάφον, οὐ γάμον, ἔνθα βαρεῖα
κλαύσουσιν νύμφαι, ὅτι δὴ θεὸν οὐκ ἐνόησαν,
ἀλλ' αἰεὶ τυπάνοις καὶ κόρτοις ἦχον ἔδωκαν.
μαντεύου, Κολοφών· μέγα σοι κρέμαται φοβερὸν πῦρ.

36 *χαλεπὸς—ἔπεισιν] Huetius, χαλεπὸς βίος ἀνθρώπων τε πείσει ΦΨ, (χαλεπὸν βίον) ἀνθρώποισιν ἐποίσει Castalio* 37 *ἐσδύνων] ἐς δύνων A, εἰσδύνων Ψ ψυχῇσι] scripsi, ψυχαῖσι codd.* 38 *ὄμματα φύσῃ] Reichelt, ὄμματα λύσῃ codd., an ἀνθήσειεν ex I 383?* 39 *τὴν κτίσιν] ΦΨ, τέκνοις Alexandre ἥ ποτε πᾶσι] Ψ, ἥν ποτε πᾶσα A S, ἥν ποτε πᾶσαν PB διέδωκε] ἔδωκε Ψ* 40] *lacunam ante hunc versum ipse indicavi τὸ μὲν] ipse dedi, τὰ μὲν codd.* 41 *ἄρξωνται] ἄρξονται PB Περσῶν μαχίμων φῦλ', αὐτίκα δεινοί] ipse scripsi, Πέρσαι μαχίμων φῦλον αὐτίκα δεινοὶ Φ, Πέρσαι μάχιμον φῦλον ἀντιδεινοὶ Ψ, Πέρσαι μάχιμον γένος, αὐτίκα δεινοὶ Nauck, Πέρσαι, μάχιμον φῦλον, τότε δεινοί Volkmann* 42 *νυμφῶν] νυμφώνων Ψ διὰ δύσνομα ἔργα] ipse conieci, διὰ δύσνομα φῦλα codd.* 43 *sqq.] cf. V 390 sq. ἐν σοὶ γὰρ μήτηρ τέκνῳ μίχθη ἀθεμίστως | καὶ θυγάτηρ γενετῆρι ἑῷ συνεζεύξατο νύμφη* 44 *δηλήσει] δηλήσῃ P ἐπὶ πατρὶ κλιθεῖσα] cf. VII 160 ἐπ' ἐμῷ γὰρ πατρὶ κλιθεῖσα ἐπὶ] ὑπὸ Meineke κλιθεῖσα] κληθεῖσα P* 46 *ἐκλάμψει] ἐκλάμψης Ψ ἀπὸ λόγχης] ἀπολόγης B, an μετὰ λόγχης scribendum?* 47] *cf. I 156 αἵμασιν ἀνδρομέοις πολλὴν χθόνα ἀρδεύοντες* 48 *πρόμος] τρόμος Ψ* 49 *λείψουσιν] A, λείψουσι codd. cett., an λείψειεν? κεχαραγμένον] κεχαρισμένον A ἔγχος] Castalio, ἄνθος ΦΨ, ἔντος Meineke*
50 *ὃ—αἰεὶ] ipse temptavi, ἐκπρομολόντα φέρουσ' αἰεὶ Φ, ἐκπρομολόντα φέρον γε ἀεὶ Ψ, ἐν προμάχοις τὸ φέρουσ' αἰεὶ Alexandre, ἐκπρομόλον τὸ φέρουσ' αἰεὶ olim Volkmann, ἐκπρομολὼν τὸ φέρησ' αἰεὶ (schemate Ibyceo, vel φέρων scil. ἐστί) Meineke σημήιον ἀρχῆς] Alexandre adnuente Volkmanno, σημεῖον ἀνάγκης ΦΨ, (ἐκπρομολὼν τὸ φέρησ' αἰεὶ) σημήιον Ἄρης Meineke* 51 *μάν] μὲν A, μὴν Ψ πᾶσι] ipse correxi, πᾶσα ΦΨ*
52 *ἐκτελέσει] ipse temptavi, ἐκπίεται ΦΨ, εἰσίεται Alexandre βαρεῖα] ipse dedi, cf. de hoc neutrius generis plurali Hesiod. Scut. 348 ὀξεῖα κρέμισαν Arat. Phaen. 1068 θήλεια δὲ μῆλα C. I. G. 2448 III 29 θήλεια: βαθεῖα Φ, βαθεῖαι Ψ, βαρεῖαι ('gravi dolore oppressae') Meineke* 53 *κλαύσουσιν] κλαύσουσι ΦΨ ὅτι—ἐνόησαν] cf. VI 22 τὸν σὸν θεὸν οὐκ ἐνόησας VII 66 οὐκ ἔγνως τὸν σὸν θεόν* 54 *τυπάνοις] Alexandre, τυμπάνοις Ψ, καὶ τυμπάνοις Φ καὶ κόρτοις] Meineke coll. Diogen. Proverb. III 97 γραῦς ἀνακορτήσασα; καὶ κρότοις ΦΨ, τε κρότοισί τε Alexandre τυπάνοις καὶ κόρτοις] τυπάνοισι κρότοισίν τ' Volkmann, τυμπάνοισι κρότοισί τε anonymus Londin.* 55 *σοι] om. Ψ*

VII Θεσσαλίη δύσνυμφε, σὲ δ' ὄψεται οὐκ ἔτι γαῖα,
οὐδὲ τέφρην, πλεύσῃ δὲ μόνη φυγὰς ἠπείροιο·
οὕτως, ὦ τλῆμον, σκύβαλον πολέμου λυγρὸν ἔσσῃ
ὠκυρόοις ποταμοῖς καὶ ῥομφαίῃσι πεσοῦσα.
ὦ τλῆμόν γε Κόρινθε, σὺ δ' ἀμφ' αὐτὴν βαρὺν Ἄρην
δέξῃ, δειλαίη, καὶ ἐπ' ἀλλήλοις ἀπολεῖσθε.
Τῦρε, σύ, δειλαίη, λείψῃ μόνη· εὐσεβέων γὰρ
ἀνδρῶν χηρεύουσ' ὀλιγηπελίῃ διολέσσῃ.
ἆ Συρίη κοίλη, Φοινίκων ὑστάτη ἀνδρῶν,
οἷς ἐπερευγομένη χεῖται Βηρυτιὰς ἅλμη,
τλήμων, οὐκ ἔγνως τὸν σὸν θεόν, ὅς ποτ' ἔλουτο
Ἰορδάνου ἐν προχοῇσι — καὶ ἔπτατο πνεῦμα πρὸς αὐτόν, —
ὃς πρὶν καὶ γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος
αὐθέντης γεγένητο λόγος πατρί, πνεύματι δ' ἁγνῷ
σάρκας δυσάμενος ταχὺς ἵπτατο πατρὸς ἐς οἴκους.
τρεῖς δ' αὐτῷ πύργους μέγας οὐρανὸς ἐστήριξεν,
ἐν τοῖς δὴ ναίουσι θεοῦ νωμήτορες ἐσθλοί,
ἐλπίς τ' εὐσεβίη τε σεβασμοσύνη τε ποθεινή,
οὐ χρυσῷ χαίρουσαι ἢ ἀργύρῳ, ἀλλὰ σεβασμοῖς
ἀνθρώπων θυσίαις τε δικαιοτάτοις τε λογισμοῖς.

67] Matth. 3, 16 Marc. 1, 10 Luc. 3, 22

57 *τέφρην*] *τεφρὴν (τε φρὴν A) Φ, τ' ἀφρὸν Ψ πλεύσῃ δὲ*] *Opsopoeus, πλεύσῃ τε (πλεύσει τὲ A) Φ, πλεύσεται Ψ* 58 *οὕτως*] *Alexandre, αὐτοῖς ΦΨ σκύβαλον—ἔσσῃ*] *cf. XI 185* 59 *ὠκυρόοις ποταμοῖς*] *ipse restitui coll. Hom. E 598, ὦ κυσὶ καὶ ποταμοῖς ΦΨ. ὠκύσι (!) (ὠκέσι Alexandre) καὶ ποταμοῖς Castalio ῥομφαίῃσι*] *Opsopoeus, ῥομφαίαισι (ῥομφαίαι σοι A) ΦΨ* 60 *ὦ*] *ἆ Ψ* 61 *ἐπ'*] *Alexandre, ἐν ΦΨ ἀλλήλοις*] *ἄλλοις A ἀπολεῖσθε*] *ἀπολεῖσθαι L* 62 *δειλαίη, λείψῃ*] *ipse temptavi, δ' ἡλίκα λήψῃ Φ, δ' ἡλίκον λήψῃ Ψ μόνη*] *μούνη A* 63 *χηρεύουσ'*] *Mendelssohn coll. Hom. ι 124, χώρης εἰς Φ. χώρησις Ψ, χώρης σῆς Alexandre ὀλιγηπελίῃ*] *Mendelssohn ex Alexandri coniectura ὀλιγηπελίῃ, ὀλίγη φανίη (ὀλιγηφανίη A) Φ, ὀλίγη φρενίη Ψ διολέσσῃ*] *Mendelssohn, σε διοίσει ΦΨ* 64 *ἆ Συρίη*] *Alexandre, ἀσσυρίη ΦΨ ὑστάτη*] *dedi, ὕστατον Meineke de situ Coelesyriae intellegens, ὕπατον Φ, ὕπατε Ψ, ὑψόθεν Alexandre* 65 *χεῖται*] *Alexandre, κεῖται ΦΨ Βηρυτιὰς*] *Alexandre, βάρη . . ιας (βάρη . . ιὰς A) Φ, βάρη κοιλίας Ψ* 66 *τλήμων*] *A, τλῆμον codd. cett. οὐκ—θεόν*] *cf. VI 22 τὸν σὸν θεὸν οὐκ ἐνόησας cf. VII 53 ὅτι δὴ θεὸν οὐκ ἐνόησαν* 66 *ὅς*] *Maranus, ὃν ΦΨ ἔλουτο*] *ipse scripsi, ἔλουσεν ΦΨ ἔλουτο | Ἰορδάνου ἐν προχοῇσι*] *cf. VI 4 sq. προχοαῖς ἀπολουσάμενος ποταμοῖο | Ἰορδάνου* 67 *Ἰορδάνου*] *ἰορδάνης Ψ προχοῇσι*] *προχοαῖσι ex VI 4 Fabricius, προχοῇσι Alexandre, τριτάτοισι ΦΨ, ποταμοῖσι Maranus, ὑδάτεσσι Friedlieb ἔπτατο*] *correxit Castalio, ἑπτὰ τὸ ΦΨ πνεῦμα πρὸς αὐτόν*] *ipse temptavi, πνεῦμα πολλῷ ΦΨ, πνεύματι πολλῷ Alexandre, πνεῦμα ἐπ' αὐτῷ Fabricius* 69 *γεγένητο λόγος πατρί*] *Alexandre, γένετο λόγῳ πατρός Φ, ἐγένετο λόγῳ πατρός Ψ* 70 *σάρκας δυσάμενος*] *= II 246; sic ipse correxi (cf. VII 134 δυσάμενοι προβάτων λασιότριχα ῥινά), σάρκα τε δυσάμενος Φ, σάρκα γε ἐνδυσάμενος Ψ. σάρκ' ἐνδυσάμενος Alexandre ἵπτατο*] *an ἔπτατο?* 72 *ἐν τοῖς*] *Alexandre, ἐν τῷ ΦΨ θεοῦ νωμήτορες ἐσθλοί*] *Friedlieb, θεοῦ νῦν (om. Ψ) μητέρες ἐσθλαί ΦΨ, νόου νῦν μητέρες ἐσθλαί Ewald ('die drei Mütter des göttlichen Sinnes'), an θεοῦ νωμητρίδες ἐσθλαί?* 73 *ἐλπίς τ'*] *ἐλπὶς Ψ σεβασμοσύνη τε ποθεινή*] *Ψ, τε ποθεινὴ σεβασμοσύνη Φ* 74 *χαίρουσαι*] *Meineke, χαίρουσα ΦΨ σεβασμοῖς*] *σεβάσμοις Φ* 75 *δικαιοτάτοις τε λογισμοῖς*] *cf. II 314 δικαιότατοί τε λογισμοί XIV 7 δικαίων τε λογισμῶν δικαιοτάτοις τε*] *Alexandre, δικαιοτάτων τε Ψ, δικαιοτάτων Φ*

VII θύσεις δ' ἀθανάτῳ μεγάλῳ τε θεῷ ἀγερώχῳ
οὐ χόνδρον τήξας λιβάνου πυρὶ οὐδὲ μαχαίρῃ
ἀρνειὸν κόψας λασιότριχα, ἀλλ' ἅμα πᾶσιν,
οἳ τεὸν αἷμα φέρουσι, λαβὼν ἀγρηνὰ πετεινὰ
εὐξάμενος πέμψεις εἰς οὐρανὸν ὄμματα πήξας·
ὕδωρ δὲ σπείσεις καθαρῷ πυρὶ τοῖα βοήσας·
'ὥς σε λόγον γέννησε πατήρ, πάτερ, ὄρνιν ἀφῆκα
ὀξὺν ἀπαγγελτῆρα λόγων, λόγε, ὕδασιν ἁγνοῖς
ῥαίνων σὸν βάπτισμα, δι' οὗ πυρὸς ἐξεφαάνθης.'
οὐδὲ θύρην κλείσεις, ὅτε τίς σοι ἐπήλυτος ἄλλος
ἥξει δευόμενος πενίης ἀπὸ λιμὸν ἐρύκειν.
ἀλλὰ λαβὼν κεφαλὴν τοῦδ' ἀνέρος ὕδατι ῥάνας
εὖξαι τρίς· τῷ σῷ δὲ θεῷ μάλα τοῖα βόησον·
'οὐκ ἔραμαι πλούτου· λιτός ποτε λιτὸν ἐδέγμην
ἀμφαδίην· σὺ πάτερ, σὺ χορηγητήρ, ἐπάκουσον.'
εὐξάμενος δώσεις οἱ· ἀπήγαγεν ἔκτοτε δ' ἀνήρ·

* * *

μὴ θλίψῃς με, θεοῦ ἱερὸν σέβας ἠδὲ δίκαιον,
ἀγνὸν ἀδούλωτον περὶ γένναν ἐλεγχθέν . . . .
τλήμονά μου κραδίην στῆσον, πάτερ· ἐς σὲ δέδορκα,
ἐς σὲ τὸν ἄχραντον, τὸν μὴ χέρες ἐργάσσαντο.

71] cf. Hermae Past. I, 3, 2; III 9, 1

76 *μεγάλῳ—ἀγερώχῳ] ipse scripsi, θεῷ μεγάλῳ ἀγερώχῳ Φ, τε θεῷ πατρὶ μεγάλῳ ἀγερώχῳ Ψ, μεγάλῳ θεῷ ἠδ' ἀγερώχῳ Castalio* 77 *οὐδὲ] οὐδὲν F* 78 *ἀρνειὸν] ἄρνειον P F, ἀρνεῖον codd. cett. κόψας] Opsopoeus, κόψεις Φ Ψ* 79 *οἳ τεὸν] οἵ τινες ἑὸν Ψ φέρουσι] φέρουσιν A ἀγρηνὰ πετεινά] suspectum ἀγρηνὰ] ἀγρίηνα Φ Ψ* 80 *εἰς—πήξας] cf. VII 162 ἐς οὐρανὸν ὄμματα πήξω πήξας] ipse correxi, τείνας Φ Ψ (errore librarii ex ultima versus superioris voce πετεινά ortum)* 81 *σπείσεις] σπείσῃς B, πείσεις Ψ* 82 *ὥς] Alexandre, ὅς Φ Ψ λόγον] λόγος Ψ πάτερ, ὄρνιν ἀφῆκα] πνεῦμ' ὄρνιν ἀφῆκε Maranus (et Otto) λόγε] ipse temptavi, λόγον codd.* 84 *ῥαίνων] ῥάνων A? πυρὸς ἐξεφαάνθης] cf. VI 6 πυρὸς ἐκφεύξας; πυρόεις ἐφαάνθης Struve* 85 *οὐδὲ θύρην κλείσεις] fortasse μηδὲ θύρην κλείσῃς scribendum esse suspicatus est Boissonade κλείσεις] A, κλείσῃς codd. cett. ἐπήλυτος] Dausqueius (et L. Dindorf), ἐπήλυδος Φ Ψ ἄλλος] ἀνήρ maluit Boissonade* 86 *πενίης—ἐρύκειν] ex Hom. ε 166 Alexandre, πενίην λιμόν τ' ἀπερύκειν Dausqueius, πενίης ἐπερυκέμεν λιμῷ Φ Ψ. πενίης (vel λιμοῦ) ἀπερυκέμεν ἄχθος et πενίην ἀπερυκέμεν (debebat conicere ἀπερυκέμεν, recte monente Alexandro) αὐτὴν Boissonade* 88 *τοῖα βόησον] cf. VII 81 τοῖα βοήσας* 89 *ποτε] τε ποτὲ A, δέ τε Ψ ἐδέγμην] ἐδάγμην Ψ* 90 *ἀμφαδίην] ipse temptavi, ἀμφεδὸς P, ἀμφοδὸς A, ἄμφωδος B, ἀμφωδὸς Ψ, ἀμφοτέρων Alexandre σὺ πάτερ] Alexandre, οὐ πάτερ Φ, οὗ πάτερ Ψ σὺ χορηγητήρ] Ψ, συγχωρηγητήρ Φ* 91 *εὐξάμενος δώσεις οἱ] Alexandre, εὐξαμένῳ δώσει σοι Φ Ψ ἀπήγαγεν] ἀπήγαγε δ' A ἔκτοτε] ἐξότε Alexandre olim proposuit, ὁππότε in ed. altera ('sublata in fine distinctione') δ' ἀνήρ] Betuleius, δ' ἀήρ codd. praeter A, qui ἀήρ habet* 91] *post hunc versum lacunam subesse vidit Ewald* 92 *μὴ θλίψῃς] cf. II 74 μὴ θλῖβε; μὴ λείψῃς (= μὴ λίπῃς) proposuit Alexandre θλίψῃς] θλήψεις P ἠδὲ] Alexandre, ἐκ δὲ Φ, ἐκ θεοῦ Ψ* 93 *ἐλεγχθέν] ἐλεχθὲν Φ* 93] *versus truncus est in codd.; in P additum 'λείπει'* 94 *ἐς σὲ δέδορκα] εἰς σὲ δέδορκα A Ψ, εἰς σέδορκα P, εἴ σε δέδορκα B* 95 *τὸν—ἐργάσσαντο] cf. IV 6 τὸν οὐ χέρες ἔπλασαν ἀνδρῶν IV 11 οὐ πλασθέντα χερὶ θνητῇ ἐς] εἰς codd. ἐργάσσαντο] ἐργάσαντο Φ Ψ*

VII Σαρδώ, νῦν σὺ βαρεῖα, μεταλλάξῃ ἐς τέφρην.
ἔσσῃ δ' οὐκ ἔτι νῆσος, ὅτ' ἂν δέκατος χρόνος ἔλθῃ.
ζητήσουσι πλέοντες ἐν ὕδασι σ' οὐκ ἔτ' ἐοῦσαν,
ἀλκυόνες δ' ἐπὶ σοὶ οἰκτρὸν γόον αἰάξουσιν.
Μυγδονίη τρηχεῖα, δυσέκβατε πυρσὲ θαλάσσης,
αὐχήσεις αἰῶνα καὶ εἰς αἰῶν' ἀπολέσσῃ
θερμῷ πνεύματι πᾶσα, μανήσῃ δ' ἄλγεσι πολλοῖς.
Κελτὶ γαίη, τόσσον κατ' ὄρος, παρὰ δύσβατον Ἄλπιν,
ψάμμος ὅλην χώσει σε βαθύς· φόρον οὐκ ἔτι δώσεις,
οὐ στάχυν, οὐ βοτάνας· πανέρημος ἔσῃ δ' ἀπὸ λαῶν
αἰεί, κρυμαλέοις δὲ παχυνομένη κρυστάλλοις
λώβην ἐκτίσεις, ἣν οὐκ ἐνόησας, ἄναγνε.
Ῥώμη καρτερόθυμε, Μακηδονίην μετὰ λόγχην
ἀστράψεις ἐς Ὄλυμπον· θεὸς δέ σε πάμπαν ἄπυστον
ποιήσει, ὁπότ' ἂν δοκέῃς πολὺ κρεῖσσον ἐς ὄμμα
ἑδραίη μίμνειν. τότε σοι τοιαῦτα βοήσω.
ὀλλυμένη φθέγξῃ λυπρῶς τότε μορμύρουσα·
δεύτερά σοι, Ῥώμη, μέλλω πάλι δεύτερα φωνεῖν.
ἄρτι δέ σε, τλήμων Συρίη, κατοδύρομαι οἰκτρῶς.
Θῆβαι δύσβουλοι, ὑμῖν κακὸς ἦχος ἐπέστη
αὐλῶν φθεγγομένων, ὑμῖν σάλπιγξ κακὸν ἦχον
ἠχήσει, ὄψεσθε δ' ἀπολλυμένην χθόνα πᾶσαν.
αἲ αἴ σοι τλήμων, αἲ αἲ κακόθυμε θάλασσα.
βρωθήσῃ πυρὶ πᾶσα καὶ ἅλμῃ λαὸν ὀλέσσεις.

96 βαρεῖα] βαρεῖαν Ψ μεταλλάξῃ ἐς] A, μεταλλάξει ἐς P B, ἐναλλάξειας Ψ τέφρην] an ὕδωρ scribendum? (quo facto μεταλλαχθήσῃ ἐς ὕδωρ corrigendum esset) 97 δέκατος] Nauck coll. IV 20, δεκάδος Φ Ψ 98 πλέοντες] πλέονες B, σε πλέοντες F ὕδασι σ'] ipse scripsi, ὕδασιν codd. 99 αἰάξουσιν] Alexandre, αἰάσουσιν anonymus Londin., αἴξουσιν (—ι) Φ Ψ 100 δυσέκβατε] δυσέβακτε P πυρσὲ] πῦρ σε L 101 εἰς αἰῶν'] coniecit Alexandre, αἰώνων Φ Ψ ἀπολέσσῃ] Alexandre, ἀπολεῖ σε Φ Ψ 103 Κελτὶ γαίη] κέλτι γαίη B, κελτιγενὴ P, κελτιγένη A, κέλτι γένη Ψ, Κέλτι γένη Dausquєius τόσσον] aegre temptavi, τὸ δὲ σὸν Φ Ψ Ἄλπιν] Ψ, ἄλπην Φ (cf. Dionys. Perieg. 295 Ἄλπιος ἀρχή) 104 ὅλην] Castalio, ὅλη Φ Ψ βαθύς· φόρον] βαθύσφορον A F 106 κρυμαλέοις δὲ] κρυμαλέοισι Ψ κρυστάλλοις] κρυστάλλοισι B, κρυστάλοις F 108 Μακηδονίην] μακηδονίη Ψ λόγχην] Castalio, λόχμην Φ Ψ 110 δοκέῃς] A Ψ, δοκέεις P B 111 ἑδραίη] ἑδραία Alexandre in utraque editione, ἑδραίη in Cur. post. praeferebat τότε—βοήσω] cf. XI 32, 108 τότε σοι πάλι ταῦτα βοήσω τοιαῦτα] Φ Ψ, an πάλι ταῦτα scribendum ex ll. cc.? 112 λυπρῶς τότε μορμύρουσα] Volkmanni coniecturam dubitans recepi, λαμπρόν ποτε καὶ μαρμάρεν σε Φ, λαμπρόν ποτε καὶ μαρμαῖρον Ψ, quod Alexandro placuit, λαμπρόν ποτε μαρμαρέον τε Castalio 113 Ῥώμη, μέλλω] μέλλω Ῥώμη A πάλι] A, πάλιν codd. cett. 114] = XIII 119, cf. V 287 ἄρτι δέ σε, τλήμων Ἀσίη, κατοδύρομαι οἰκτρῶς XI 122 ἄρτι δέ σε, τλῆμον Φρυγίη, κατοδύρομαι οἰκτρῶς σε, τλήμων Συρίη] ex XIII 119 scripsi, cf. V 287, σε, τλῆμον Συρίη Nauck, σε Συρίη τλῆμον Ψ, σοι Συρίη τλῆμον Φ 115 δύσβουλοι] δύσμορλοι Ψ κακὸς — 116 ὑμῖν] om. A priore hemistichio v. 115 et posteriore v. 116 contaminatis 116 φθεγγομένων] φθεγγομένων γε Ψ 118] cf. III 323 αἲ αἴ σοι Λιβύη· αἲ αἲ δὲ θάλασσά τε καὶ γῆ τλήμων] τλῆμον Φ 119 καὶ—ὀλέσσεις] ipse scripsi (corruptela orta ex VII 121), καὶ ἐξολέσεις (ἐξολέσῃς P) λαὸν ἅλμῃ Φ Ψ

VII ἔσται γὰρ τοσσοῦτον ἐπὶ χθονὶ μαινόμενον πῦρ,
ὅσσον ὕδωρ ῥεύσει καὶ ἐξολέσει χθόνα πᾶσαν.
φλέξει ὄρη, καύσει ποταμούς, πηγὰς δὲ κενώσει.
ἔσται κόσμος ἄκοσμος ἀπολλυμένων ἀνθρώπων.
καιόμενοι δὲ κακῶς τότε τλήμονες ἐμβλέψουσιν
οὐρανόν, οὐκ ἄστροις, ἀλλ' ἐν πυρὶ κεκμηῶτα.
οὐδὲ θοῶς ὀλέσονται, ἀπολλύμενοι δ' ὑπὸ σαρκῶν,
πνεύματι καιόμενοι εἰς αἰώνων ἐνιαυτοὺς
αἰεὶ δυσβασάνιστα θεοῦ νόμον εἰδήσουσιν
οὐκ ἀπαφητὸν ἐόντα· βιαζομένη δ' ἄρα γαῖα,
ἥν τινα τολμήσασα θεὸν ἐπεδέξατο βωμοῖς,
ψευδομένη κάπνωσε δι' αἰθέρος ἀλλαχθέντος·
κεῖνοι δὲ τλήσονται ἄγαν πόνον, οἳ διὰ κέρδος
αἰσχρὰ προφητεύσουσι κακὸν χρόνον ἀλδαίνοντες.
οἳ μὲν δυσάμενοι προβάτων λασιότριχα ῥινὰ
Ἑβραῖοι ψεύσονται, ὃ μὴ γένος ἔλλαχον αὐτοί,
ἀλλὰ λόγους λαλέοντες ἐπ' ἄλγεσι κερδαντῆρες,
οἳ βίον ἀλλάξουσι καὶ οὐ πείσουσι δικαίους,
οἵ τε θεὸν πάμπιστα διὰ φρενὸς ἱλάσκονται.
ἐν δὲ τρίτῳ κλήρῳ περιτελλομένων ἐνιαυτῶν
ὀγδοάτης πρώτης ἄλλος πάλι κόσμος ὁρᾶται.
νὺξ ἔσται πάντη . . . . . . μακρὴ καὶ ἀφεγγής.
καὶ τότε μὲν θείου δεινὴ περιβήσεται ὀδμὴ

134 Matth. 7, 15

123] Lactantius div. inst. VII 16, 13 = vol. I p. 637, 10 — p. 638, 1 Brandt: his et aliis pluribus malis solitudo fiet in terra et erit deformatus orbis atque desertus: quod in carminibus Sibyllinis ita dicitur: 123 'ἔσται' — 'ἀνθρώπων'

120 γὰρ τοσσοῦτον] ipse scripsi, idque etiam Alexandre in Cur. poster. praesenserat; γὰρ τοσοῦτον Ψ, γάρ τε τοσοῦτον Φ 121 ὅσσον] ὅσον Ψ ῥεύσει καὶ] P, ῥεύσει δὲ καὶ codd. cett. 123] cf. XIII 147 καὶ πάλι κόσμος ἄκοσμος ἀπολλυμένων ἀνθρώπων; cf. III 363 VIII 165 ἀπολλυμένων ἀνθρώπων] = XIII 95 125] cf. I 240 sq. αἱμαιόεντα πόλον τε μέγαν τε πυραυγέα δίσκον | δείξεν κεκμηῶτα 126 ὀλέσονται] scripsi, ὀλέκονται codd. 129 βιαζομένη δ' ἄρα γαῖα] βιαζομένης ἄρα γαίης Alexandre adversante Ludwichio Fleckeisens Jahrb. 1878 p. 243) 130 θεὸν] θεῶν Ψ βωμοῖς] Alexandre, βωμούς Φ Ψ 131 κάπνωσε — ἀλλαχθέντος] Ludwich (qui etiam κάπνωσε δι' αἰθέρος ἀλλαχθέντα scribi posse monuit), καπνὸν δὲ δι' αἰθέρος ἄλγεα θέντα (ἀλγηθέντα Ψ) Φ Ψ 132 πόνον] Meineke, πόθον Φ, πον θ' οἳ Ψ διὰ κέρδος] = III 14 VIII 422; correxi cum Alexandro, διὰ κέρδους Φ Ψ 133 κακὸν — ἀλδαίνοντες] cf. VIII 174 ἐπαυξήσῃ κακὸν ἦμαρ 134 δυσάμενοι] δυσσάμενοι P, δασάμενοι A, δαισάμενοι Ψ 135 ἔλλαχον] ipse temptavi, ἔκλαβον Φ, ἔλαβον Ψ, ἔλλαβον Alexandre 136 λόγους λαλέοντες] Alexandre, λόγοις λαλέοντες Φ, λόγοισι λαλοῦντες Ψ 137 ἀλλάξουσι καὶ οὐ] Struve, ἀλλάξουσιν κοὐ Φ, ἀλλάξουσι κοὐ Ψ 138 οἵ τε] ὅτε A πάμπιστα] Castalio, πάμπαυστα codd. 139 περιτελλομένων ἐνιαυτῶν] = III 649 140 ὀγδοάτης πρώτης] ὀγδοάτης γενεῆς Thorlacius videtur voluisse, ὀγδοάτου πρώτης Bleek dubitans proposuit ('tertio anno octavi mensis die prima') πάλι] πάλιν Ψ 141] lacuna in medio versu statuenda in codicibus non indicatur excepto P, qui adscriptum habet 'λείπει'; fortasse πάντη κατὰ γῆν (vel πᾶσαν κατὰ γῆν) supplendum ἀφεγγής] Volkmann, ἀπειθής Φ, ἀπειθής τε Ψ, ἀπευθής ('eine Nacht, durch die Nichts erkundet werden kann') Meineke 142 θείου — ὀδμὴ] cf. III 60 θείου δ' ἐμβρίσειεν ὀδμή

VII ἀγγέλλουσα φόνους, ὁπότ' ἂν κεῖνοι ἀπόλωνται
νυκτί τε καὶ λιμῷ. τότε γεννήσει καθαρὸν νοῦν
ἀνθρώπων, στήσει δὲ θεὸς γένος, ὡς πάρος ἦεν·
οὐκ ἔτι τις κόψει βαθὺν αὔλακα γυρῷ ἀρότρῳ·
οὐ βόε δ' ἰθυντῆρε κάτω βάψουσι σίδηρον·
κλήματα δ' οὐκ ἔσται οὐδὲ στάχυς· ἀλλ' ἅμα πάντες
μάννην τὴν δροσερὴν λευκοῖσιν ὀδοῦσι φάγονται.
σὺν δ' αὐτοῖς ἔσται τότε καὶ θεός, ὅς τε διδάξει,
ὡς ἐμὲ τὴν λυγρήν. ὅσα γὰρ κακὰ πρόσθεν ἔρεξα
εἰδυῖ', ἄλλα τε πολλὰ κακῶς ἐπόνησ' ἀμελοῦσα.
μυρία μέν μοι λέκτρα, γάμος δ' οὐδεὶς ἐμελήθη·
πᾶσι δ' ἐγὼ παράπιστος ἐπήγαγον ἄγριον ὅρκον.
δευομένους ἀπέκλεισα καὶ ἐν προμολοῦσιν ἰοῦσα
εἴκελον εἰς αὐλῶνα θεοῦ φάτιν οὐκ ἐνόησα.
τοὔνεκα πῦρ μ' ἔφαγεν καὶ βρώσεται· οὐδὲ γὰρ αἰεὶ
ζήσομαι, ἀλλ' ὀλέσει με κακὸς χρόνος, ἔνθα τάφον μοι
ἄνθρωποι τεύξουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης,
καί με λίθοις ὀλέσουσ'· ἐπ' ἐμῷ γὰρ πατρὶ κλιθεῖσα
υἷα φίλον μετέδωκα. βάλοιτε, βάλοιτέ με πάντες·
οὕτω γὰρ ζήσω καὶ ἐς οὐρανὸν ὄμματα πήξω.

158—160] Arnobius adv. nation. I 62 = p. 42, 23 sqq. Reifferscheid: si quo tempore Sibylla praesagia oracula illa depromens fundebat vi ut dicitis Apollinis plena ab impiis esset caesa atque interempta latronibus: numquid Apollo diceretur in ea esse occisus?

ποιήτων] cf. IV 28 λίθων ἀφιδρύματα κωφῶν θεῶν ἀφιδρύματα] ipse scripsi ex l. c., ναῶν ἱδρύματα Ω 64 δασσάμενοι] Alexandre, δασσόμενοι Ω 65 ἀλκῆς δὲ] ipse temptavi, αἴσχεά τε Ω 66 Εὐφρήταο] ipse correxi, Εὐφράταο Ω 67 ἐχθρούς τε] Ω, fortasse κρατεροὺς scribendum ἁβροκόμους] ἀβροκόμους Q V H, ἀκροκόμους Meineke 68 Μασσαγέτας] μασαγέτας Ω, correxit Alexandre 69—75] primitus fortasse post XII 268 collocatos fuisse putavit Ewald 69 βασιλεὺς ἰδίην μοίρην ἀναλύσει] ipse dedi, βασιλευση δίη μοίρη καταλύσει Ω (in Q haec discerni non possunt), βασιλεὺς ἰδίῃ μοίρῃ Mai ἰδίην μοίρην ἀναλύσει] cf. XI 229 XII 175 71 ἀντιβολῶν] Mai, ἀντοβόλων (ἀντοβολῶν H) Ω οἳ δ᾽—ἀρχῆς] cf. III 118–121 καὶ παῖδες ὑπερβασίην ὅρκοισιν | δεινὴν ποιήσαντες ἐπ᾽ ἀλλήλους ἔριν ὦρσαν |, ὃς πάντεσσι βροτοῖσιν ἔχων βασιληίδα τιμὴν | ἄρξει 72 ἐφοπλίσσαντες] ἐφοπλίσαντες Ω, correxit Alexandre 73 εἰς ἔριν ὁρμήσουσιν] cf. XIV 16 εἰς ἔριν ἀντήσουσι ὑπὲρ βασιληίδος ἀρχῆς] = XII 259 XIII 6 XIV 77 74 ἀριθμοῦ τριτάτου] ipse conieci, cf. XIII 157 τριτάτου ἀριθμοῖο; ἀπὸ τριτάτων Ω πάλιν ἄλλος | ἄρξει] cf. XIII 144 XIV 163 ἄρξει πάλιν ἄλλος πάλιν ἄλλος] ipse correxi ex ll. cc., πόλει ἄλλῳ Ω, πολὺ μᾶλλον Alexandre 75 ἐπόψεται] ἐφόψεται Ω, correxit Alexandre ἄορι βληθείς] ipse scripsi, δουρὶ βοληθείς Ω (correpta syllaba ultima verbi ἐπόψεται ante δουρί!) 76 πολλοὶ] Mai, πολὺ Ω 77 ἴφθιμοί περ ἐόντες] ipse restitui coll. Hom. Π 260, ἴφθιμοι μέροπές τε Ω ὑπὲρ βασιληίδος ἀρχῆς] cf. ad XIV 73 78 ὑπερμενέων Ῥωμαίων] = XIII 155 XIV 52 καὶ πάντα καλῶς διαθήσει] cf. XIII 124 καὶ πάντα κακῶς διαθήσει 80] cf. III 538 πᾶσι δ᾽ ὁμοῦ πόλεμός τε βροτοῖς καὶ λοιμὸς ἐπέσται ἐπέσται] ipse correxi, ἔσσεται Ω, ἐσεῖται Mai 82 προσπέσεται] προπέσεται Ω, correxit Mai ἀνδρῶν ὕπο βαρβαροφώνων] = I 394, cf. III 516 ἀνδρῶν βαρβαροφώνων III 528 ὑπ᾽ ἐχθρῶν βαρβαροφώνων ἀνδρῶν ὕπο] ipse transposui, ὑπό τ᾽ ἀνδρῶν Ω βαρβαροφώνων] βαρβαροφόνων Q M, βαρβαροφρόνων V H, correxit Mai 83 Βηρυτός] βιρυτός H θ᾽ ἡ μεγάλαυχος] τ᾽ ἡ μεγάλαυχος Mai (θ᾽ restituit Alexandre), δέ τε ἡ μεγάλαυχος Ω, an τε μεγάλαυχος scribendum est?

XIV *ἀλλήλας ὄψονται ἐν αἵματι καὶ νεκύεσσιν.* (XII)
τλήμων Λαοδίκεια, σὺ δ' ἀμφ' αὐτῇ μέγαν αἴρῃ
ἄπρηκτον πόλεμον διὰ δυσσεβίας ἀνθρώπων.
ἆ μέλεοι Τρῶες, τὸ κακὸν θέρος ἀμήσεσθε·
ὁππότ' ἂν ἠέλιος φαεσίμβροτος ἤματι λείψῃ,
δίσκος δ' οὐ φαίνῃ, ψεκάδες ῥεύσουσ' ἐπὶ γαῖαν
πυκναὶ καὶ θαμέαι ἐξ οὐρανοῦ αἱματόεσσαι.
καὶ τότε δὴ φθάνεται βασιλεὺς προδοθεὶς ὑφ' ἑταίρων.
πολλοὶ δ' αὖ μετὰ τοῦτον ἀναιδέες ἡγεμονῆες
ἀλλήλους κτενέουσι κακὴν ἔριδα προφέροντες.
καὶ τότε δ' αὖτ' ἔσται γεραρὸς πολύμητις ἀνάκτωρ
οὔνομα πέντ' ἀριθμῶν μεγάλαις στρατιῇσι πεποιθώς,
ὃν μέροπες στέρξουσι χάριν βασιληΐδος ἀρχῆς·
τοὔνομα δ' ἐσθλὸν ἔχων ἐσθλοῖς ἔργοισι προσάψει.
σῆμα δέ τοι ἔσται φοβερὸν τούτου κρατέοντος
μεσσηγὺς Ταύρου τε νιφοβλήτοιό τ' Ἀμανοῦ.
ἐκ Κιλίκων γαίης νέα τις πόλις ἐξαπολεῖται
καλή τε βριαρή τε βαρυσθενέσιν ποταμοῖσιν.
πολλοὶ δ' αὖ σεισμοί τε Προποντίδι καὶ Φρυγίοισιν
ἔσσονται. βασιλεὺς δὲ κλυτὸς ἰδίῃς ὑπὸ μοίρῃς
τηκεδανῷ θανάτοιο νόσῳ ψυχὴν ἀπολέσσει.
ἄρξουσιν μετὰ τόνδε δύω βασιλῆες ἄνακτες,
ὃς μὲν τριηκοσίων ἀριθμὸν προφέρων, ὁ δὲ τρισσῶν·

84 *αἵματι καὶ νεκύεσσιν*] = V 95 85 *τλήμων Λαοδίκεια*] *cf. IV 107 τλῆμον Λαοδίκεια* *τλήμων*] *τλῆμον Mai* *αἴρῃ*] *αἴρη Ω, correxit Mai* 86 *διὰ δυσσεβίας ἀνθρώπων*] = *I 4* *δυσσεβίας*] *δυσσεβείας Ω, correxit Alexandre* 87 *ἆ*] *ipse scripsi, αἶ Ω, αἲ Mai* *τὸ—ἀμήσεσθε*] *cf. I 387 τὸ κακὸν θέρος ἀμήσωνται* *τὸ*] *ipse correxi ex l. c., δὲ Ω* 88 *ὁππότ' ἂν*] *ὁπόταν Η* 89 *ψεκάδες—αἱματόεσσαι*] *cf. XII 56 ἀπ' οὐρανοῦ αἱματόεσσαι | ῥεύσουσιν ψεκάδες IV 134 καὶ ψεκάδες πίπτωσιν ἀπ' οὐρανοῦ, οἷά τε μίλτος* *ψεκάδες ῥεύσουσ' ἐπὶ γαῖαν*] *scripsi, ἐπεὶ ψεκάδες δ' ἥξουσιν ἐπὶ γαῖαν Ω, ψεκάδες δ' ἥξουσ' ἐπὶ γαῖαν Mai* 90 *θαμέαι*] *θαμίαι Q* 91 *φθάνεται*] *fortasse πέσεται scribendum est* *προδοθεὶς ὑφ' ἑταίρων*] *cf. XIII 19 προδοθεὶς ὑφ' ἑταίρου* *προδοθεὶς*] *om. M* 92 *sq.*] *cf. XIV 195 ἄλλοι δ' αὖ μετέπειτα πάλιν κρατεροὶ πολεμισταὶ | ἀλλήλους κόψουσι κακὴν ἔριδα προφέροντες* 93 *ἀλλήλους κτενέουσι*] = *II 22* 94 *αὖτ'*] *αὖ Mai* 95 *στρατιῇσι*] *Friedlieb, στρατίαισσι M, στρατίεσσι V H, στρατιέσσι Q, στρατιαῖσι Alexandre* 97 *ἔργοισι προσάψει*] *ipse temptavi (an ἔργοισι προκόψει?), ἔργοις (ἔργοι Q) προϊάψει* 98] = *XII 214 XIV 179* *φοβερὸν*] *ipse correxi ex ll. cc., μέγα τοῦ Ω* 99 *μεσσηγὺς*] *μεσηγὺς M* *Ταύρου*] *ταυροῦ M* *νιφοβλήτοιο*] *νιφηβλήτοιο Ω, correxit Mai* *τ' Ἀμανοῦ*] *ταμάνου Ω* 101 *βαρυσθενέσιν ποταμοῖσιν*] *ipse temptavi, βαρυσθενέος ποταμοῖο Ω* 102 *αὖ*] *αὖτε (αὖτ' M) Ω, correxit Mai* *Προποντίδι*] *προυποντίδι Q* *Φρυγίοισιν*] *dubitans coniecit Lobeck (qui etiam Φρυγέεσσιν suspicatus est), φρυγίεσσιν (φρυγίεσιν H) Ω, 'an Φρυγίῃσιν vel Φρυγίαισιν ob plures Phrygias?' olim Alexandre* 103 *ἔσσονται*] *ἔσονται M H* *βασιλεὺς δὲ κλυτὸς*] *ipse scripsi, βασιλεὺς κλυτὸς Ω. βασιλεὺς κλειτός τ' Mai* *κλυτός*] *quae post hanc vocem usque ad v. 140 incl. secuntur cod. Q in folio 387 b habet incipiente verbis . . . . ὑπὸ μοίρῃς (nam ἰδίῃς periit)* 104 *τηκεδανῷ*] *Lobeck, θηλεδανῷ Ω. τηλεδαπῷ Schneider coniecit* *ἀπολέσσει*] *ἀπολέσει H* 105 *ἄρξουσιν*] *ἄρξουσι Ω* *δύω*] *Mai, δύο Ω* 106 *τριηκοσίων*] *de synizesi cf. XIV 126* *τρισσῶν*] *τρισσὸν suprascripto ω̃ Q*

XIV τοὔνεκα καὶ πολλοὺς ὑπὲρ ἄστεος ἐξολοθρεύσει (XII)
Ῥώμης ἑπταλόφοιο διὰ κρατερὴν βασιλείην.
καὶ τότε συγκλήτῳ κακὸν ἔσσεται οὐδὲ φυγεῖται
χωομένου βασιλῆος ἐπ' αὐτῇ θυμὸν ἔχοντος.
σῆμ' ἔσται δ' ἄρα πᾶσιν ἐπιχθονίοις ἀνθρώποις·
πλειότεροι δ' ἔσσονθ' ὑετοί, νιφὰς ἠδὲ χάλαζα
ἐξολέσει λήιων καρποὺς ἐπ' ἀπείρονα γαῖαν.
αὐτοὶ δ' αὖ πεσέονται ἐνὶ πτολέμοισι δαμέντες
Ἄρηι κρατερῷ πολέμου χάριν Ἰταλιήων.
καὶ τότε δ' αὖτ' ἄρξει βασιλεὺς πολυμήχανος ἄλλος
συλλέξας πᾶσαν στρατιὴν καὶ χρήματα νείμας
χαλκεοθώρηξιν πολέμου χάριν· αὐτὰρ ἔπειτα
Νεῖλος ὑπὲρ Λιβύης πουλύσταχυς ἠπείροιο
ἀρδεύσει δύ' ἔτη τὸ μέλαν πέδον Αἰγύπτοιο
χώρην τ' ἀροσίμην· λιμὸς δὲ τὰ πάντα καθέξει
καὶ πόλεμος λῃσταί τε φόνοι τ' ἀνδροκτασίαι τε.
πολλαὶ δ' αὖτε πόληες ὑπ' ἀνθρώπων πολεμιστῶν
πρηνισμοῖς ἀπολοῦνται ὑπὸ στρατιῆς παλαμάων·
αὐτὸς δ' αὖ πέσεται προδοθεὶς αἴθωνι σιδήρῳ.
τὸν μέτα τριηκοσίων ἀριθμῶν ὅς τ' ἔλλαχεν ἀρχὴν
Ῥωμαίων ἄρξειεν, ὑπερμενέων ἀνθρώπων·
ἐκτανύσει λόγχην θυμοφθόρον Ἀρμενίοισιν
Πάρθοις Ἀσσυρίοισι μενεπτολέμοισί τε Πέρσαις.
καὶ τότε δ' αὖ Ῥώμης κτίσις ἔσσεται ἀγλαοτεύκτου

108 Ῥώμης ἑπταλόφοιο] = II 18, *cf.* XIII 45 ἑπταλόφῳ Ῥώμῃ ἑπταλόφοιο] *Alexandre ex l. c.*, ἑπταλόφου δὲ Ω βασιλείην] βασιλείαν Ω 109 κακὸν ἔσσεται οὐδὲ φυγεῖται] *cf.* III 265 XI 45, 239 κακὸν ἔσσεται οὐδὲ φύγονται 111 δ' ἄρα] *ipse dedi*, ἄρα Ω 112] *versum ipse restitui, de clausula cf. Hom.* O 170 νιφὰς ἠὲ χάλαζα; πλειότεροι θ' ὑετοὶ νιφάδες ἔσονται χάλαζαι Ω (χάλαζα *Mai*) νιφὰς ἠδὲ χάλαζα] *cf.* III 691 λίθος ἠδὲ χάλαζα 114 αὖ πεσέονται] *ipse correxi, cf.* XIV 240, αὖτε πεσοῦνται Ω πτολέμοισι] *Mai*, πολέμοισι Ω 115 Ἄρηι κρατερῷ] = XII 249, 275 XIII 146 πολέμου χάριν] = XIV 118 Ἰταλιήων] ἰταληίων Ω, Ἰταλιητῶν *olim suspicatus est Alexandre* 116 καὶ τότε δ' αὖτ' ἄρξει] *cf. ad* XIV 27 118 χαλκεοθώρηξιν] *Mai*, χάλκεος θώρηξιν Ω 119 Λιβύης] λιβύην Ω, *correxit Mai* πουλύσταχυς] πολύσταχυς Ω, *correxit Mai* 121 δὲ τὰ πάντα] *an rectius* δέ τε πάντα *scribendum?* 123 πόληες ὑπ'] *Meineke et Nauck*, πόλεις ὑπ' Ω. πόλεις ὑπὸ *Mai* 124 πρηνισμοῖς] πρηνισμοῖο *M* 125 πέσεται—σιδήρῳ] *cf.* XIII 144 *sq.* πεσεῖται … βληθεὶς αἴθωνι σιδήρῳ αἴθωνι] αἴθονι Ω. *correxit Mai* 126 τριηκοσίων] *de synizesi cf.* XIV 106 ἀριθμῶν] *Mai*, ἀριθμὸν Ω ὅς τ'] *Alexandre*, οἷς Ω ἔλλαχεν] ἔλαχεν *Q V H* ἀρχὴν] *V*, ἄρχειν *Q M H, sed cf.* V 15 *et* XIV 205 ὅς τ' ἔλλαχε γράμματος ἀρχήν 127] *cf.* II 174 ἄρξουσιν ὑπερμενέων ἀνθρώπων XIV 52 ἄρξειεν ὑπερμενέων Ῥωμαίων XIII 155 ἄρξουσιν ὑπερμενέων Ῥωμαίων ἄρξειεν] *ipse correxi ex l. c.*, ἄρξει καὶ Ω 128 θυμοφθόρον] δημοφθόρον *olim Alexandre coniecit (sed cf.* II 113 θυμοφθόρος .. σίδηρος) 129 Πάρθοις Ἀσσυρίοισι] *rectius fortasse* Πάρθοις τ' Ἀσσυρίοις τε *scribendum est* μενεπτολέμοισί τε] *Q V H*, μενεπτολέμοις τε *M*, μενεπτολέμοις δέ τε *Mai*

XIV χρυσῷ τ' ἠλέκτρῳ τε καὶ ἀργύρῳ ἠδ' ἐλέφαντι (XII)
κόσμῳ ἐπαιρομένης· πουλὺς δέ τε λαὸς ἐν αὐτῇ
ἀντολίης πάσης ἠδ' ἑσπερίης πολυόλβου
οἰκήσει· βασιλεὺς δὲ νόμους ἑτέρους ἐπὶ ταύτῃ
θήσει· τὸν μετὰ δ' αὖτις ἀπειρεσίῃ ἐνὶ νήσῳ
δέξεται οὐλόμενος θάνατος καὶ μοῖρα κραταιή.
ἄρξει δ' ἄλλος ἀνὴρ τριάδων δέκα θηρὶ ἐοικὼς
εὐχαίτῃ βλοσυρῷ θ', ὃς ἀφ' Ἑλλήνων γένος ἔσται.
καὶ τότε δὴ Φθίης πουλυτρόφου ἄστυ Μολοσσοῦ
καὶ Λάρισσα κλιθήσετ' ἐπ' ὀφρύσι Πηνειοῖο·
καὶ τότε δ' ἱπποβότου Σκυθίης ἐπανάστασις ἔσται.
καὶ πόλεμος δεινὸς Μαιώτιδος ἐγγύθι λίμνης
ἔσται ἐπὶ προχοῇσι παρ' ἐσχάτιον στόμα πηγῆς
Φάσιδος ὑγροκόμοιο κατ' ἀσφοδελὸν λειμῶνα·
πολλοὶ δὴ πεσέονται ὑπὸ κρατερῶν πολεμιστῶν.
αἷ μαλεροῦ χαλκοῖο πόσους παραλήψεται Ἄρης.
καὶ τότε δὴ βασιλεὺς Σκυθικὸν γένος ἐξαλαπάξας
θνήξεται εἰν ἰδίῃ μοίρῃ βίοτον ἀναλύσας.
ἄλλος δ' αὖτ' ἄρξει τετράδος μετέπειτ' ἀναδειχθεὶς
δεινὸς ἀνήρ, ὃν πάντες, ὅσοι πίνουσιν ἄριστον
Ἀρμένιοι κρύσταλλον ἄγαν ῥείοντος Ἀράξεω,
δείσουσιν πολέμοισιν, ἀτὰρ Πέρσαι μεγάθυμοι.
μεσσηγὺς Κόλχων τε πολυσθενέων τε Πελασγῶν

131] = XIV 211 τ' ἠλέκτρῳ] correxi ex l. c., ἠλέκτρῳ om. τ' Ω 132 ἐπαιρομένης] Alexandre, ἐπαιρομένῃ Ω 133 ἠδ'] ἦδ' M 134 δὲ] dedi, τε Ω 136 οὐλόμενος θάνατος] XIV 194 κραταιή] κρατεή Ω 138 εὐχαίτῃ βλοσυρῷ θ', ὃς] ipse restitui, cf. XIV 13 ἠύκομος βλοσυρός θ'; ἐν χαίτῃ βλοσυρωτὸς M, ἐν χαίτῃ βλοσυρωπὸς Q V H; εὐχαίτῃ etiam Meineke scribi iussit ὃς—ἔσται] = III 193 γένος ἔσται] ex l. c. correxit Alexandre, γενήσεται Ω 139 Φθίης] φθεῖται coll. III 400 Mendelssohn, qui in versu proximo κλιθεῖσα legit πουλυτρόφου] Mai, πουλύτροφος Ω, πουλυστρόφου (Μολοσσοῦ fluminis) dubitans coniecit Mendelssohn Μολοσσοῦ] suspicatus est Mendelssohn coll. XIV 216, Μολοσσῶν Ω 140 κλιθήσετ'] ipse scripsi, cf. VIII 77 κλιθήσῃ; κλυτὴ καὶ Ω; κλιθεῖται (= κλιθήσεται) Meineke; ceterum κλυτὴ καὶ fortasse retinendum et lacunam (unius versus) statuendam esse censuit idem vir doctus; κλιθεῖσα Mendelssohn; πεσεῖται olim Alexandre Πηνειοῖο] Alexandre (Πηνίοιο Mai), πίνοιο Ω 141 τότε δ'] τότε om. δ' perperam Friedlieb ἱπποβότου] Alexandre, ἱπποδότου Ω ἐπανάστασις ἔσται] I 355 VIII 205 142 ἐγγύθι] Meineke, ὕδασι Ω 143 ἔσται] ἔσται δ' H προχοῇσι] ipse dedi, προχοαῖσι Ω στόμα πηγῆς] cf. IV 15 Fr. III 6 στόμα πηγῶν στόμα] Meineke ex IV 15, πόμα Ω 144 κατ' ἀσφοδελὸν] κατὰ σφοδελὸν Ω, correxit Mai 145 πεσέονται] Nauck coll. III 275, 342, 685 XII 244 al., πεσοῦνται Ω, πεσσοῦνται Mai 146 αἷ μαλεροῦ] αἷ μαλεοῦ V H, αἷμα λεοῦ Q M, correxit Mai πόσους] ὁπόσους Ω, correxit Mai 147—167] om. Q, qua in parte Ω consensum codicum V H M significat 147 ἐξαλαπάξας] scripsi, ἐξαλαπάξει Ω 148 βίοτον] βιότου V H εἰν—ἀναλύσας] cf. XIV 69 ἰδίην μοίρην καταλύσει ἀναλύσας] Ω, καταλύσας suspicatus est Alexandre 150 πίνουσιν ἄριστον] ipse dedi, πίνουσι πάνιστον Ω, πίνουσι πάγιστον Alexandre, πίνουσι πάνηστον ('omnino iucundum') Boissonade 151 κρύσταλλον] κρύσταλον H 152 δείσουσιν] δείσουσι Ω, an δείσουσ' ἐν? πολέμοισιν, ἀτὰρ] commendavit Nauck; πολέμοισιν, αὐτὰρ Ω; πολέμοις, αὐτὰρ Mai 153 μεσσηγὺς] μεσηγὺς M H

XIV ἔσσονται πόλεμοί τε μάχαι τ᾽ ἀνδροκτασίαι τε. (XII)
καὶ Φρυγίης γαίης τε Προποντίδος ἄστε᾽ ἔχοντες
φάσγανά θ᾽ ἐκ κολεῶν ἀμφήκεα γυμνώσαντες
κόψουσ᾽ ἀλλήλους διὰ δυσσεβίας ἀλεγεινάς.
καὶ τότε δὴ μέγα σῆμα θεὸς μερόπεσσι βροτοῖσιν
οὐρανόθεν δείξει περιτελλομένοις ἐνιαυτοῖς,
φάλκην, ἐσσομένοιο τέρας πολέμοιο κακοῖο.
καὶ τότε δὴ βασιλεὺς κρατερὴν οὐ φεύξετ᾽ ἀνάγκην,
ἀλλὰ θανεῖθ᾽ ὑπὸ χειρὶ δαμεὶς αἴθωνι σιδήρῳ.
τὸν μέτα πεντήκοντ᾽ ἀριθμῶν ἄρξει πάλιν ἄλλος
ἐξ Ἀσίης προφανείς, δεινὸς φόβος, ἀγχιμαχητής·
καὶ στήσει πόλεμον καὶ ἐπ᾽ ἀγλαὰ τείχεα Ῥώμης
Κόλχοις θ᾽ Ἡνιόχοις τε γαλακτοπόταις τ᾽ Ἀγαθύρσοις
Εὐξείνῳ πόντῳ, Θρῄκης ψαμαθώδεϊ κόλπῳ.
καὶ τότε δὴ βασιλεὺς κρατερὴν οὐ φεύξετ᾽ ἀνάγκην,
ὃν καὶ τεθνηῶτα νέκυν διαδηλήσονται·
καὶ τότε δὴ βασιλῆος ὀλωλότος ἔσσετ᾽ ἐρήμη
Ῥώμη κυδιάνειρα, πολὺς δέ τε λαὸς ὀλεῖται.
καὶ τότε δ᾽ αὖτ᾽ ἄρξειεν ἀπ᾽ Αἰγύπτιοιο μεγίστης
δεινὸς καὶ φοβερός, Πάρθους δ᾽ ὀλέσει μεγαθύμους
Μήδους Γερμανούς τε βοοσποράδας τ᾽ Ἀγαθύρσους

154] = XI 260, cf. XIII 9 πόλεμοί τε μάχαι τ᾽] ipse scripsi, e ll. cc., πόλεμοι δεινοί; δεινοὶ ex XIV 142 videtur irrepsisse, cf. similem corruptelam XI 124 155 καὶ Φρυγίης—ἔχοντες] ipse restitui, καὶ φρυγίη γαίη (hanc vocem om. M) τε Προποντίδος ἄστεα γαίης (γέης M) Ω 156 φάσγανά θ᾽] ipse correxi, φάσγανά τ᾽ Ω ἀμφήκεα] ἀμφίκεα M 157 κόψουσ᾽ ἀλλήλους] cf. XIV 196 ἀλλήλους κόψουσι κόψουσ᾽ ἀλλήλους] cum Meinekio dedi, ἀλλήλας κόψουσι Ω ex XIV 196; ἀλλήλους iam Mai restituerat δυσσεβίας ἀλεγεινάς] δυσσεβείας ἀλγεινάς Ω, correxit Alexandre 158 sq.] cf. II 34 καὶ τότε δὴ μέγα σῆμα θεὸς μερόπεσσι ποιήσῃ XIV 220 ἀλλ᾽ ὁπότ᾽ ἂν μέγα σῆμα θεὸς μερόπεσσι ποιήσῃ περιτελλομένοις ἐνιαυτοῖς] Ω, an περιτελλομένων ἐνιαυτῶν? 160 ἐσσομένοιο] correxi, ἐσσομένην δὲ Ω, ἐσσομένην τὸ Hartel 161] = XIV 168; post hunc v. 169 intrusit Mai deceptus lacuna codicis Q κρατερὴν οὐ φεύξετ᾽ ἀνάγκην] ipse temptavi, στρατιῆς οὐ φεύξεται χεῖρας Ω (sicut infra 168); an στρατιῆς οὐ φεύξεται αἰχμάς (φεύξετ᾽ ἀκωκάς?) scribendum? 162 θανεῖθ᾽] θάνηθ᾽ (θάμηθ᾽ II) Ω, correxit Mai δαμεὶς αἴθωνι σιδήρῳ] cf. XII 275 δμηθεὶς αἴθωνι σιδήρῳ XII 249 XIII 146 βληθεὶς αἴθωνι σιδήρῳ δαμεὶς] Nauck, ταμεὶς Ω αἴθωνι] αἴθονι Ω, correxit Mai 163 ἄρξει πάλιν ἄλλος] — XIII 144, cf. XIV 72 164 ἐξ Ἀσίης προφανεὶς] cf. XIII 22, 90, 152 ἐκ Συρίης προφανεὶς δεινὸς φόβος ἀγχιμαχητής] cf. XIV 27 δεινὸς νέος ἀγχιμαχητής φόβος] an νέος ex l. c. corrigendum? ἀγχιμαχητής] ipse correxi ex l. c., ἀντιμαχητής Ω 165 στήσει] ipse dedi, θήσει Ω ἐπ᾽ — Ῥώμης] XIV 247 166 Κόλχοις θ᾽ Ἡνιόχοις τε] cf. XII 43 Κόλχοις Ἡνιόχοις γαλακτοπόταις τ᾽] τ᾽ addidi ex Alexandri coniectura, om. Ω Ἀγαθύρσοις] ἀγάθυρσις M 167 ψαμαθώδεϊ] ψαμμώδεϊ M 168 sq.] om. M librarii oculis similitudine hemistichii prioris versuum 168 et 170 deceptis 168] = XIV 161 κρατερὴν οὐ φεύξετ᾽ ἀνάγκην] ipse temptavi, cf. ad XIV 161; στρατιῆς οὐ φεύξεται χεῖρας Ω 169] cf. XII 276 τὸν καὶ τεθνηῶτα λαὸς διαδηλήσηται 169 νέκυν] Alexandre, νέην Ω 172 ἄρξειεν ἀπ᾽] Meineke, ἄρξει ἀπ᾽ Ω, ἄρξει ἀπὸ Mai 173 δεινὸς καὶ φοβερός] = XII 79, cf. XIII 165 δεινός τις φοβερός τε

XIV Ἰερναίους Βρεττανούς τε φαρετροφόρους τ' Ἴβηρας (XII)
Μασσαγέτας σκολιούς Πέρσας θ' ὑπερηνορέοντας.
  καὶ τότε δ' Ἑλλάδα πᾶσαν ἐσόψεται ἀγλαὸς ἀνὴρ
ἐχθαίρων Σκυθίῃ καὶ Καυκάσῳ ἠνεμόεντι.
σῆμα δέ τοι ἔσται φοβερὸν τούτου κρατέοντος·
οὐρανόθεν στέφανοι μεσσημβρίης τε καὶ ἄρκτου
ἀστράσι φαινομένοις παρομοίιοι ἀντείλωσιν.
καὶ τότε παιδὶ ἑῷ λείψει βασιλήιον ἀρχὴν
στοιχείου ἀρχομένοιο, ἐπὴν ἰδίῃ ἐνὶ μοίρῃ
βήσεται εἰν Ἀίδαο δόμοις βασιλεὺς ἀγαπήνωρ.
ἀλλ' ὁπότ' ἂν ἄρχῃ τούτου πάις ἐν χθονὶ Ῥώμης
ἐκ μονάδος προφανείς, ἔσται κατὰ γαῖαν ἅπασαν
εἰρήνη μεγάλη πολυήρατος, ὅν τε Λατῖνοι
στέρξουσιν βασιλῆα ἑοῦ πατρὸς εἵνεκα τιμῆς·
ὃν σπεύδοντα μολεῖν καὶ ἐπ' ἀντολίην τε δύσιν τε
Ῥωμαῖοι σχήσουσι καὶ οὐκ ἐθέλοντα πρὸς οἴκους
Ῥώμης κοιρανέονθ', ὅτι δὴ φίλος ἔπλετο πᾶσιν
θυμὸς ὑπὲρ βασιλῆος ἀγακλειτοῖο ἄνακτος.
ἀλλὰ μινυνθάδιόν μιν ἀφαρπάξει βιότοιο
οὐλόμενος θάνατος προδοθέντ' ἰδίῃ ἐνὶ μοίρῃ.
  ἄλλοι δ' αὖ μετέπειτα πάλιν κρατεροὶ πολεμισταὶ

175 Ἰερναίους Βρεττανούς τε] *ipse scripsi*, βρεττανοὺς περμανίους Ω, Βρεττανοὺς Περνούς τε *Mai*, Βρεττανοὺς Ἰερνούς τε *suspicatus est Alexandre* φαρετροφόρους τ' Ἴβηρας] *cf. XII 151* ὀιστοβόλους τ' Ἴβηρας 176 Μασσαγέτας] μασαγέτας Ω, *correxit Alexandre* θ'] *ipse restitui*, δ' Ω ὑπερηνορέοντας] ὑπερινορέοντας Ω, *correxit Mai* 177 τότε δ'] *ipse scripsi*, δ' *om.* Ω ἀγλαὸς] ἀγλαοὺσ *Q* 179] = *XII 214 XIV 98, cf. XI 25 XII 72* σημεῖον δ' ἔσται φοβερὸν τούτου κρατέοντος φοβερὸν] *ipse restitui*, κρατερὸν (*e sequente verbo* κρατέοντος *ortum*) Ω 180 *sq.*] *cf. II 35* λάμψει γὰρ στεφανῷ λαμπρῷ παρομοίιος ἀστήρ 180 στέφανοι μεσσημβρίης] *Alexandre*, στεφάνοιο μεσημβρίης Ω; *fortasse vero* στεφάνωμα μεσημβρίης *et in versu sequente* παρομοίιον ἀντείλειεν *scribendum est* (*cf. I 218* οὐράνιον στεφάνωμα), στεφάνοιο μεσημβρίης *retentis Mai in versu proximo dedit* παρομοιίου ἀντείλαντος μεσσημβρίης τε καὶ ἄρκτου] *cf. II 195 XI 3* παρομοίιοι] παρομοίοι Ω, *correxit Alexandre* 183 στοιχείου ἀρχομένοιο] = *XI 142, 196, cf. XI 154 XII 271* στοιχείου ἀρχομένου ἀρχομένοιο] ἀρχομένου γὰρ Ω, *correxit Alexandre* ἐπὴν ἰδίῃ] *V H*, ἐπ' ἠ/ἰδίη *Q*, ἐπ' ἰνδίη *M*, ἐπεὶ ἰδίῃ *Mai* ἰδίῃ ἐνὶ μοίρῃ] *XIV 194, cf. XII 35, 77, 205* ἰδίης ὑπὸ μοίρης 184 βήσεται εἰν Ἀίδαο δόμοις] *XII 77, 146* 185 ἀλλ' ὁπότ' ἂν ἄρχῃ] *cf. XI 47* ἀλλ' ὁπότ' ἂν ἄρξῃ *XI 261* ἀλλ' ὅτ' ἂν ἄρξωνται ἄρχῃ] *Alexandre*, ἄχρι Ω, *an* ἄρξῃ *scribendum ex ll. cc.?* πάις] παῖς Ω, *correxit Nauck* 186 προφανείς] προφανής *Q* (*in corr.*) *V H* ἔσται—μεγάλη] *cf. III 755* ἀλλὰ μὲν εἰρήνη μεγάλη κατὰ γαῖαν ἅπασαν *XI 79* ἔσσεται εἰρήνη μεγάλη κατὰ κόσμον ἅπαντα *XII 172* εἰρήνη μεγάλη δὲ γενήσεται 188 στέρξουσιν] στέρξουσι Ω βασιλῆα] *Alexandre*, βασιλῆε *Q*, βασιλῆ *V H*, βασιλεῖ· *M* ἑοῦ] *Alexandre praeeunte Maio*, καὶ ἐς *V H M*, *om. Q* εἵνεκα τιμῆς] = *V 156 XIV 229* 189 ἐπ' ἀντολίην τε δύσιν τε] *cf. III 26 VIII 321* ἀντολίην τε δύσιν τε ἀντολίην τε] τε *addidit Alexandre*, *om.* Ω 190 οὐκ ἐθέλοντα] *Mai*, οὐ θέλοντα Ω 191 δὴ] *om. M* 192 ἀγακλειτοῖο] *correxit Alexandre*, ἀγακλυτοῖο Ω 194 οὐλόμενος θάνατος] = *XIV 136* προδοθέντ'] *Alexandre*, προδοθεὶς Ω ἰδίῃ ἐνὶ μοίρῃ] *XIV 183* 195 *sq.*] *cf. XIV 92 sq.* πολλοὶ δ' αὖ μετὰ τοῦτον ἀναιδέες ἡγεμονῆες | ἀλλήλους κτενέουσι κακὴν ἔριδα

XIV ἀλλήλους κόψουσι κακὴν ἔριδα προφέροντες, (XII)
οὐ βασιλῆι᾽ ἔχοντες ἀνάκτορος, ἀλλὰ τύραννοι.
πολλὰ δὲ δὴ τελέσουσι κακὰ κόσμῳ ἔνι παντί,
Ῥωμαίοις δὲ μάλιστα μέχρις τριτάτου Διονύσου,
ἄχρις ἀπ᾽ Αἰγύπτου κεκορυθμένος ἵξεται Ἄρης,
ὃν Διόνυσον ἄνακτα μετωνυμίην καλέουσιν.
ἀλλ᾽ ὁπότ᾽ ἂν φόνιός τε λέων φονίη τε λέαινα
πορφύρεον ῥήξουσι κλυτὸν βασιλήιον εἷμα,
†πνεύμονι συμμάρψουσιν ἀμειβομένης βασιλείης·
καὶ τότε δ᾽ ἁγνὸς ἄναξ, ὅς τ᾽ ἔλλαχε γράμματος ἀρχήν,
ἐχθροὺς ἡγεμονῆας ἐπειγόμενος περὶ νίκης
φέρβεσθαι σκυλάκεσσι καὶ οἰωνοῖσι μεθήσει.
αἲ αἴ σοι, πυρίκαυστε πόλις, μεγαλόσθενε Ῥώμη,
ὁππόσα δεῖ σε παθεῖν, ὁπότ᾽ ἂν τάδε πάντα γένηται.
ἀλλὰ μέγας βασιλεὺς ὁ περίκλυτος ἀμφὶς ἔπειτα
χρυσῷ τ᾽ ἠλέκτρῳ τε καὶ ἀργύρῳ ἠδ᾽ ἐλέφαντι
ἐξεγερεῖ πᾶσάν σε, καὶ ἐν κόσμῳ προτερήσεις
κτήμασι καὶ ναοῖς ἀγοραῖς πλούτοις σταδίοις τε·
καὶ τότε δ᾽ αὖτις ἔσῃ πᾶσιν φάος, ὡς τὸ πρὶν ἦσθα.
ἆ μέλεοι Κέκροπες Καδμεῖοί τ᾽ ἠδὲ Λάκωνες,

προφέροντες 195 ἄλλοι—πάλιν] πάλιν δ᾽ αὖ μετέπειτα ἄλλοι Ω, rectum verborum ordinem restituit Mai 196 ἀλλήλους κόψουσι] cf. XIV 157 κόψουσ᾽ ἀλλήλους 197 βασιλῆι᾽] ipse correxi, βασιλεῖ Ω, βασίλεια Mai. βασίλειον Alexandre ἀνάκτορος, ἀλλὰ τύραννοι] ipse scripsi, ἀνακτόρων. ἀλλὰ τυράννων Ω, ἀνάκτων. ἀλλὰ τυράννων Alexandre ἀλλὰ τύραννοι] = XI 262 198 sqq.] in folio 385 b habet Q 198 τελέσουσι] τελέουσι V H κόσμῳ ἔνι] = XIV 23 199 μέχρις] μέχρι Ω 200 ἀπ᾽] Mai, ἐπ᾽ Ω ἵξεται] correxit Alexandre, ἥξεται Ω 201 μετωνυμίην] μετωνυμίαν M 202 φονίη] φρονίη V H 203 †πνεύμονι] Ω. πνεύμονα Friedlieb συμμάρψουσιν] συμμάρψαντες Alexandre coniecit ἀμειβομένης] dedi, cf. ad 206, ἐπειγομένης Ω 205 ὅς τ᾽ ἔλλαχε γράμματος ἀρχήν] cf. V 15 ὅς τις λάχε γράμματος ἀρχήν XIV 126 τριηκοσίων ἀριθμῶν ὅς τ᾽ ἔλλαχεν ἀρχήν τ᾽ ἔλλαχε] correxit Alexandre, τε ἔλαβε Q V H, τ᾽ ἔλλαβε M γράμματος] Alexandre ex l. c., τραύματος Ω 206 ἐπειγόμενος] restitui ex Hom. Ψ 437, ἀμειψάμενος Ω 207 φέρβεσθαι] Q, φέρφεσθαι M, φόρεσθαι V H σκυλάκεσσι] σκυλάκεσι H οἰωνοῖσι] οἰονοῖσι H 208 αἲ αἴ σοι] correxit Alexandre, αἶ αἶ σὺ Ω μεγαλόσθενε Ῥώμη] cf. V 63 μεγαλόσθενε Μέμφι 209 ὁππόσα] ὁπόσα H ὁπότ᾽ ἂν τάδε πάντα γένηται] cf. III 92 ὅτ᾽ ἂν τάδε πάντα γένηται 211] = XIV 131, cf. XII 192 XIII 66 χρυσῷ τε καὶ ἀργύρῳ ἠδ᾽ ἐλέφαντι τ᾽] θ᾽ Ω, correxit Alexandre τε] om. V H 212 προτερήσεις] Alexandre, προτερήσει Ω 213] cf. III 58 ναοῖς καὶ σταδίοις ἀγοραῖς ξοάνοισί τε χρυσοῖς XIII 64 sq. ναοῖς σταδίοις τε | ἠδ᾽ ἀγοραῖς πλατείαις τε καὶ ἀγλαοφεγγέι πλούτῳ | καὶ ξοάνοις σταδίοις τε] σταδίησ τε V H 214] cf. XIV 48 καὶ τότε δὴ Ῥώμη πάλιν ἔσσεται, ὡς τὸ πρὶν ἦεν πᾶσιν] πᾶσι Ω φάος] ipse scripsi, φῶς Ω ὡς τὸ πρὶν ἦσθα] cf. II 33 III 294 VII 145 ὡς πάρος ἦεν XI 77 ᾗ πάρος ἦεν IV 182 ὡς πάρος ἦσαν 215 ἆ μέλεοι Κέκροπες] cf. XIV 87 ἆ μέλεοι Τύριοι ἆ μέλεοι] ipse scripsi, αἲ μέλεοι Mai, αἰμάλεοι V H, αἰμαλέοι Q, αἷμα | λέοι M Κέκροπες] cf. Κεκρόπων Epigr. graec. ex lapid. conl. ed. Kaibel 969, 5; 120, 3; 168, 2 Κεκρόπεσσι ibid. 969, 3; vide praeterea Βαβυλῶνες XIII 33 V 116 Καδμεῖοί τ᾽ ἠδὲ] ipse conieci, καὶ δαρεῖοι ἠδὲ Ω, καὶ Δαύλιοι ἠδὲ Mai, καὶ Ἀργεῖοι ἠδὲ metro claudicante Alexandre

XIV οἳ περὶ Πηνειόν τε βαθύσχοινόν τε Μολοσσὸν (XII)
Τρίκην Δωδώνην τε καὶ ὑψίδμητον Ἰθώμην
αὐχένα Πιερικόν τε περὶ ῥίον Οὐλύμποιο
Ὄσσαν Λάρισσάν τε καὶ ὑψίπυλον Καλυδῶνα.
　ἀλλ' ὁπότ' ἂν μέγα σῆμα θεὸς μερόπεσσι ποιήσῃ,
ἡμερίην σκοτόεσσαν ἀμολγαίην περὶ κόσμον,
καὶ τότε σοι, βασιλεῦ, τέλος ἔσσεται, οὐδὲ φύγοις ἂν
ὀξὺ κασιγνήτοιο βέλος βεβολημένον ἐς σέ.
　καὶ τότε δ' αὖτ' ἄρξει θυμοφθόρος αἰετὸς αἴθων
ἐκ γενετῆς βασιλῆος, ὃς Αἰγύπτου γένος ἕξει,
ὁπλότερος μέν, πολλὸν ἀρειότερος δὲ συναίμου,
ὀγδοήκοντ' ἀριθμῶν ὅς τ' ἔλλαχεν ἔντυπον ἀρχήν.
καὶ τότε δ' ἀθανάτοιο θεοῦ θυμαλγέα μῆνιν
κόσμος ἅπας κόλποις ὑποδέξεται εἵνεκα τιμῆς·
ἔσσοντ' ἄρ μερόπεσσιν ἐφημερίοις ἀνθρώποις
λιμοὶ καὶ λοιμοὶ πόλεμοί τ' ἀνδροκτασίαι τε
καὶ σκότος ἀκάματόν περ ἐπὶ χθόνα μητέρα λαῶν
ἠδ' ἀκαταστασίη καιρῶν καὶ ἀμείλιχος ὀργὴ
οὐρανόθεν σεισμοί τε κεραυνοί τε φλεγέθοντες
καὶ λάιτοι ὑετοί τ' ἠδὲ ψεκάδες αὐχμηραί.

216 *Πηνειόν*] *πηνιόν* Ω, *correxit Alexandre*　*βαθύσχοινον*] *βεχύσχοινον* Q　*τε Μολοσσὸν*] *τ' Ἀχελῷον* (*Acheloum Thessaliae*) *malit Alexandre*　217 *Τρίκην*] *Τρίκκην* Mai　*ὑψίδμητον*] *Meineke, qui etiam ὑψίκμητον et ὑψίκρημνον proposuit*; *ὑψίτμητον* Ω　218] *sic versum conformavit Meineke clausula ex Hom.* Θ 25 *correcta; qui antea* (*Phil.* XVII 560) *coniecerat αὐχένα Πιερικοῦ τε μέγα ῥίον Οὐλύμποιο*; *αὐχένα τε πιερικοῦ τε μέγαν περὶ ῥίον ὀλύμπου* Ω. *αὐχένα τε Πιέρου τε* (*vel Πιέροιο*) *μέγαν περὶ ῥίον Ὀλύμπου Alexandre*　220] *cf.* II 34 *καὶ τότε δὴ μέγα σῆμα θεὸς μερόπεσσι ποιήσει* XIV 158 *καὶ τότε δὴ μέγα σῆμα θεὸς μερόπεσσι βροτοῖσιν οὐρανόθεν δείξει*　221 *περὶ κόσμον*] *dubitans Alexandre coniecit*. *περὶ κόσμου* Ω　222] *cf.* III 265 *ἀλλ' ἄρα καὶ τούτοις κακὸν ἔσσεται οὐδὲ φύγονται*　223 *βέλος*] *Meineke*, *βιὸν* Ω　*βεβολημένον*] *βεβολημένοσ* Ω, *correxit Mai*　224 *καὶ τότε δ' αὖτ' ἄρξει*] *cf. ad* XIV 27　*θυμοφθόρος . . . αἴθων*] = XIV 28　*αἰετὸς αἴθων*] = III 611　*αἰετὸς*] *ipse correxi ex l. c. et Hom.* Ο 690, *ἄσπετος* Ω　225 *ἐκ γενετῆς*] *ἐκ γετῆς* M　*βασιλῆος—ἕξει*] *cf.* III 193 *Αἰγύπτου βασιλεύς, ὃς ἀφ' Ἑλλήνων γένος ἔσται*　*ἕξει*] *Alexandre et Friedlieb*, *ἥξει* Ω. *an ἔσται ex l. c.?*　226 *πολλὸν*] *ipse scripsi*, *πολλῶν* Ω, *πολλῷ* Mai　*ἀρειότερος*] *Alexandre*, *ἀριστερὸς* Ω　227 *ὀγδοήκοντ'*] *ὀγδώκοντ' Alexandre*　*ὀγδοήκοντ' ἀριθμῶν*] = XII 238　*ὅς τ' ἔλλαχεν ἔντυπον ἀρχήν*] *cf.* XIV 205 *ὅς τ' ἔλλαχε γράμματος ἀρχήν et quae ad h. l. adnotata sunt*　*ὅς τ'*] *correxit Alexandre*, *ὃς* Ω, *ὅς γ'* Mai (*in ed. Mediol.*)　*ἔλλαχεν*] *ἔλαχεν* Q V H　228 *sq.*] *cf.* I 400 *δεξάμεναι μεγάλοιο θεοῦ χόλον ἐν κόλποισιν*　228 *θυμαλγέα*] *θυμαλγέαν* Ω, *correxit Mai* (*sed pravo accentu*)　229 *κόλποις*] *Alexandre ex l. c.*, *κόσμοις* Ω　*ὑποδέξεται*] *ὑποδείξεται* Q　*εἵνεκα τιμῆς*] = V 156 XIV 188　230 *ἔσσοντ' ἄρ*] *ipse correxi*, *ἔσται γὰρ* Ω, *an ἔσσονται?*　*μερόπεσσιν*] *μερόπεσιν* H　230 *sq.*] *cf.* XI 260 *ἔσσονται πόλεμοί τε μάχαι τ' ἀνδροκτασίαι τε* XII 113 *sq.* *πολλοὶ δ' αὖ πόλεμοί τε μάχαι τ' ἀνδροκτασίαι τε | λιμοὶ καὶ λοιμοί* XIII 106 *sqq.* *καὶ τότε δὴ λιμοὶ λοιμοὶ μαλεροί τε κεραυνοὶ | καὶ πόλεμοι δεινοὶ ἀκαταστασίαι τε πολήων | ἔσσοντ' ἐξαπίνης*　231 *λοιμοὶ*] *λιμοὶ* M　232 *περ*] *ipse scripsi*, *καὶ* Ω　*μητέρα*] *μητέρα* Q V H　233 *ἠδ'*] *ἡ δ'* M　234 *σεισμοί τε κεραυνοί τε φλεγέθοντες*] *cf.* II 6 *σεισμοὶ μαλεροί τε κεραυνοί*　*κεραυνοί τε*] *τε supplevit Mai*, *om.* Ω　235 *καὶ λάιτοι ὑετοί*] *cf.* XII 75 *καὶ λάιτος ὑετός*　*καὶ λάιτοι*] *Alexandre*,

XIV σείετο δ' αὖ Φρυγίης γαίης αἰπεινὰ κάρηνα, (XII)
σείοντο Σκυθικῶν ὀρέων πόδες, ἔτρεμεν ἄστη,
ἔτρεμε δὲ χθὼν πᾶσα ἐπ' ὀφρύσιν Ἑλλάδος αἴης.
πολλαὶ δ' αὖτε πόλεις τε θεοῦ μέγα θυμήναντος
πρηνισμοῖσι πέσονται ὑπ' αἰθαλόεσσι κεραυνοῖς
καὶ κοπετοῖς κοὐκ ἔστι φυγεῖν χόλον οὐδ' ὑπαλύξαι.
καὶ τότε δ' αὖ πέσεται βασιλεὺς κρατερῆς ὑπὸ χειρὸς
βληθεὶς οἷά περ οὔ τις ὑπὸ σφετέρων ἀνθρώπων.
τὸν μέτα Λατίνων πολλοὶ πάλιν ἐξεγεροῦνται
ἄνδρες πορφυρέην λώπην ἀμφειμένοι ὤμοις,
οἳ κλήρῳ στέρξουσι λαβεῖν βασιλήιον ἀρχήν.
καὶ τότε τρεῖς βασιλῆες ἐπ' ἀγλαὰ τείχεα Ῥώμης
ἔσσονται, δύο μὲν πρῶτον κατέχοντες ἀριθμόν,
εἷς δὲ φέρων νίκης τὸ ἐπώνυμον οἷά περ οὐδείς.
στέρξουσιν Ῥώμην αὐτοὶ καὶ κόσμον ἅπαντα
κηδόμενοι μερόπων· ἄνυσις δ' οὐκ ἔσσεται αὐτοῖς·
οὐ γὰρ ἔφυ κόσμῳ θεὸς ἵλαος οὐδὲ μὲν ἔσται
ἤμερος ἀνθρώποις, ὅτι δὴ κακὰ πολλὰ ἔοργαν.
τοὔνεκεν αὖ βασιλεῦσιν ἀεικέα θυμὸν ἐποίσει
παρδαλίων τε λύκων τ' ἔτι χείρονα· τοὺς γὰρ ἀφειδῶς
χαλκεοθώρηκες παλάμαις ἰδίῃσι λαβόντες
ἀπρήκτως δμηθέντας ἀνάλκιδας οἷα γυναῖκας
ἐξολέσουσιν ἄνακτας ἐπὶ σκήπτροισιν ἑοῖσιν.
ἆ μέλεοι Ῥώμης ἐρικυδέος ἔξοχοι ἄνδρες,

κελαινοὶ Ω, an καὶ λίθινοι? cf. l. c. ὑετοί τ' ἠδὲ ψεκάδες αὐχμηραί] ipse temptavi, θ' ὑετοὶ καὶ αὐχμηραὶ (αὐχηραὶ M) ψεκάδες Ω 237 ἄστη] Meineke, ἄστιν Ω 238 ἐπ' ὀφρύσιν] conieci, μετὰ σφίσιν Ω (σφησιν Q) αἴης] Alexandre, ἄρης Ω 239 πόλεις τε θεοῦ] Ω, an θεοῖο πόλεις? θυμήναντος] θυμαίναντος M 240 πρηνισμοῖσι πέσονται] Meineke, πρηνισμοῖς πέσωνται Q V H, πρηνισμοῖς πέσονται H, πρηνισμοῖς πεσέονται Alexandre, πρηνισμοῖς πέσσονται Mai 241 κοὐκ ἔστι] correxit Alexandre, κοὐκέτι Q V M, κοὐκ ἔτι H. οὐκ ἔστι Mai; ceterum Alexandre in Cur. post. etiam οὐδ' ἔστι legi posse monuit 242 κρατερῆς ὑπὸ χειρὸς] ipse correxi, στρατιῆς ἀπὸ χειρός Ω, cf. XIV 161, 168 243 οἷά περ οὔ τις] cf. XI 194 XIV 249 οἷά περ οὐδείς 244 τὸν μέτα] τῶν μέτα H ἐξεγεροῦνται] ἐξεγειροῦνται Ω, correxit Mai 245] cf. XII 38 πορφυρέην λώπην ἀμφειμένος ὤμοις III 389 πορφυρέην λώπην ἐπιειμένος ὤμοις λώπην ἀμφειμένοι ὤμοις] cf. XI 216 λώπην] correxit Alexandre ex ll. cc., λώβην Ω 246 βασιλήιον] βασίλειον Ω, correxit Mai 247 βασιλῆες ἐπ'] Alexandre, βασιλεῖς ἐπ' Ω ἐπ'—Ῥώμης] = XIV 165 248 πρῶτον κατέχοντες ἀριθμόν] Nauck, πρῶτον ἀριθμῶν κατέχοντες Ω, πρῶτον ἀριθμὸν κατέχοντες Mai 249 νίκης τὸ ἐπώνυμον] ipse scripsi, cf. XIV 309 ἐλευθερίῃσιν ἐπώνυμος; νεῖκος τὸ μετώνυμον Ω, νῖκος τὸ μετώνυμον Alexandre οἷά περ οὐδείς] = XI 194, cf. XIV 249 οἷά περ οὔ τις 250 στέρξουσιν] στέρξουσι Ω 251 ἄνυσις] ex Homero restituit Meineke, ἄνεσις Ω 252 μὲν] Alexandre, μιν Ω 253 ἔοργαν] cf. I 265 πέφυκαν

255 παρδαλίων τε λύκων τ'] = II 267 παρδαλίων] παρδαλίω M τ' ἔτι] ipse scripsi, πολὺ Ω χείρονα] Alexandre χεῖρον Ω τοὺς] Mai, αὐτοὺς Ω 256 ἰδίῃσι λαβόντες] cf. XIV 26 ἑαῖς παλάμῃσι λαβόντες ἰδίῃσι] scripsi, ἰδίαισι Ω 257 δμηθέντας] Meineke, τμηθέντας Ω ἀνάλκιδας] ἀνάλκιδες M V H γυναῖκας] M, γυναῖκες super ε scripto α Q, γυναῖκες V H 258 σκήπτροισιν] σκήπτροις Ω, correxit Mai 259 ἆ μέλεοι] = IV 161

XIV ψευδαπάταις ὅρκοισι πεπειθμένοι ἐξαπόλησθε. (XII)
καὶ τότε δὴ πολλοὶ δορυκοίρανοι οὐ κατὰ κόσμον
φῶτες ἐφορμηθέντες ἀφαιρήσουσι γενέθλην
αἵματι πρωτογόνων ἀνδρῶν . . . .
τοὺς τοίνυν Ὕψιστος ἄγοι μοίρην τότε δεινήν,
πάντας δ' ἀνθρώπους ἰδίοις ἔργοισιν ὀλέσσει.
ἀλλὰ πάλιν θεὸς ἄξει ἀναιδέα θυμὸν ἔχοντας
ἐς κρίσιν ἐλθέμεναι, ὅσσοι κακὰ τεκμήραντο·
αὐτοὶ δὲ φράσσονται ἐν ἀλλήλοισι βαλόντες
† αὐτὴν εἰσοίκρισιν ἐφιέμενοι κακότητος·

* * *

πάντα μάλ' ἐξείης, ἀτὰρ ἀκτινόεντα κομήτην

* * *

πολλοῦ ἐπερχομένου, πολέμου καὶ δηιοτῆτος.
ἡνίκα δ' αὖ χρησμοὺς συνάγῃ πολλοὺς περὶ νήσων
φράζοντας ξείνοισι μάχην καὶ δηιοτῆτα,
ἀργαλέην τ' ἄτην ἱερῶν, λέξει δὲ τάχιστα
πυροὺς καὶ κριθὰς συνάγειν ἐν δώμασι Ῥώμης
εἰς ἄφενον σπεύδοντι ἐπὶ δυοκαίδεκα μῆνας.

XIV 335 ἆ μέλεοι] *ipse dedi*, αἶ μελέοι? *M*, αἶ μελέα *Q*, αἶ μελαία (*e* μελέα *correctum*) *V*, αἶ μελαία *H*, αἶ μέλεοι *Mai* ἐρικυδέος] ἐρυκυδέος *V H M* 260 ψευδαπάταις ὅρκοισι πεπειθμένοι] *cf. II 266* ψευδαπάταις φήμῃσι πεπειθμένοι ὅρκοισι] ὅρκισι *H* πεπειθμένοι] *ipse dedi ex l. c.*, πεπεισμένοι *Ω*, *sic edd.* 261 πολλοὶ] πολλὰ *H* δορυκοίρανοι] δορικοίρανοι *Q* οὐ κατὰ κόσμον] *correxerunt Alexandre et Meineke*, οἱ κατὰ κόσμον *Ω* 262 γενέθλην] *Alexandre scripsit*, γενέθλαι *Ω*, *an* γενέθλας? 263 ἀνδρῶν] *desideratur clausula in codd.* 264 *sq.*] *cf. VIII 171 sq.* τοὺς Ῥώμη Ὕψιστος ἄγοι οἰκτρὴν τότε μοίρην | πᾶσίν τ' ἀνθρώποις, ἔργοις δ' ἰδίοισιν ὀλοῦνται 264] = *XIV 303* τοὺς τοίνυν] *ipse correxi ex l. c.*, δὶς τοίην *Ω* Ὕψιστος ἄγοι] *ipse restitui ex ll. cc.*, δ' οὐ πρῶτον ἄγειν *Ω* μοίρην τότε δεινήν] *correxi ex XIV 303*, οἰκτρὴν (*cf. VIII 171*) τότε δαίμων *Ω*, μοίρην ποτὲ δαίμων *Alexandre* 266 πάλιν θεὸς] θεὸς πάλιν *Alexandre* ἄξει] *Alexandre*, αὔξει *Ω* ἀναιδέα θυμὸν ἔχοντας] *cf. I 130 III 40* ἔχοντας] ἔχοντα *Ω*, *correxit Alexandre* 267 ἐς] εἰς *Ω* ὅσσοι] ὅσοι *Ω*, *quod correxi*, ὁπόσοι *Mai* κακὰ τεκμήραντο] *ex Hom. Z 349 restituit Meineke*, κατατεκμήραντο *Ω* 268 αὐτοὶ δὲ φράσσονται] *ipse temptavi*, αὐτοὶ ἐπιφράσσονται *Ω*, ὅσσ' αὐτοὶ φράσσονται *coll. IV 39 Alexandre* βαλόντες] βάλλοντες *Q* 269 † αὐτὴν εἰσοίκρισιν] (εἰζοικρίσιν *M*) *Q M*, αὐτὴν εἰς κρίσιν *V H*: *lacuna quae in priore versus hemistichio suberat inepta interpolatione ex initio versuum qui praecedunt 268* (αὐτοί) *et 267* (εἰς κρίσιν) *expleta videtur esse* 270 *sq.*] = *VIII 191 et 193; mancus hic locus integer legitur VIII 190—193* 270 πάντα μάλ' ἐξείης, ἀτὰρ] *restitui, cf. VIII 191*; πολλὰ μὲν ἐξῆς ἄστρα καὶ *hoc quoque loco codd.* 271 πολλοῦ] πολλοὺσ *H* 272 δ' αὖ συνάγῃ] *Alexandre, qui fortasse* δ' ἂν . . . συνάγῃ *scribendum esse suspicatus est*, δ' αὖ . . . . . . συνάγει *Ω* περὶ νήσων] *Ω*, *locus mendo laborans*, περὶ νήσους *coniecit Alexandre, fortasse* περικλειτοὺς (χρησμούς) *scribere licet* 273 φράζοντας] *ipse temptavi*, φραζομένους *Friedlieb (et olim Alexandre dubitans)*, φραζόμενοι *Ω*, φραζόμενος *Alexandre edidit* 274 ἀργαλέην] καὶ ἀργαλέην *Q* τ' ἄτην] *ipse scripsi*, τε ἄτην *Ω* ἱερῶν] *Alexandre*, ἱερόν *Q M*, ἱεράν *V H* λέξει] λέξῃ *malit Alexandre* 276 ἐπὶ δυοκαίδεκα μῆνας] *de productione syllabae exeuntis ante* δυοκαίδεκα *cf. libellum meum 'Neue Beiträge z. Techn. d. nachhom. Hexam. 12'* 277 πόλις ἔσσεται]

XIV καί τε ταλαίπωρος πόλις ἔσσεται ἤμασι κείνοις, (XII)
εὐθὺς δ' εὐδαίμων πάλιν ἔσσεται οὐ κατὰ μικρόν·
ἡσυχίη δ' ἔσται, ὁπότ' ἂν τὸ κρατοῦν ἀπόληται.
καὶ τότε Λατίνων γενεὴ πύματος βασιλήων
ἔσται καὶ βασιλεία μετ' αὐτὴν ἐξαναφύσει,
παῖδες καὶ παίδων γενεὴ ἀσάλευτος ὑπάρξει·
ἔσται γὰρ γνωστή, ἐπεὶ ἦ θεὸς αὐτὸς ἀνάσσει.
ἔστι δέ τις γαίη φίλη τροφὸς ἀνθρώποισιν
κειμένη ἐν πεδίῳ, περὶ δ' αὐτὴν Νεῖλος ὁρίζει
πᾶσαν ἀπονρίζων Λιβύην ἠδ' Αἰθιοπίην.
καὶ Σύροι ἁρπάξουσιν ἐφήμεροι ἄλλοθεν ἄλλος
πᾶσαν ἀπαρτίην τῆσδ' ἐκ γῆς· οἷς μέγας ἔσται
κεδνὸς ἄναξ βασιλεὺς † παίδων καὶ φώτεσι πέμπων,
καὶ δεινὸν φρονέων † περὶ δεινοτάτοις ἐπὶ πᾶσιν
Ἰταλίης πάσης μεγαλόφρονος ἥσει ἀρωγὸν
καρτερόν. ἡνίκα δ' Ἀσσυρίης ἐπὶ οἴνοπα πόντον
ἔλθῃ καὶ Φοίνικας ἑοῖς οἴκοις ἀλαπάξει
δῃσόμενος πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνήν,
τῶν δύο κοιρανιῶν γαίης εἷς κοίρανος ἔσται.
νῦν δὲ τέλος πολύμοχθον Ἀλεξανδρεῦσιν ἀείσω·
αἳ ἱερὴν Αἴγυπτον ἀπήμονα γῆν ἀσάλευτον
βάρβαροι οἰκήσουσιν, ὅτ' ἂν θεόθεν χόλος ἔλθῃ.

* * *

χεῖμα θέρος ποιῶν, τότε θέσφατα πάντα τελεῖται.

ἔσσεται πόλις Q V H ἤμασι] ἤμασι H 279 τὸ κρατοῦν] rectius fortasse ὁ κρατῶν ἀπόληται] ἀπολῆται Ω, correxit Alexandre 280] cf. VIII 131 ἔκτοτε Λατίνων ἔκτη γενεὴ βασιλήων βασιλήων] correxit Alexandre, βασιλεύων Ω 281 βασιλεία] βασιλεῖα Mai 282] cf. VIII 136 παῖδες καὶ παίδων τούτου γενεὴ ἀσαλεύτων ὑπάρξει] Alexandre, ὑπάρχει Ω 283] interpolatum esse suspicor γνωστή, ἐπεὶ ἦ] ipse dedi, γνωστή οἱ (σι M), ἐπεὶ Ω 284 φίλη—ὁρίζει] cf. XIII 43 sq. φίλη τροφὸς Ἰταλιήων | κειμένη ἐν πεδίῳ Νεῖλον παρὰ θέσφατον ὕδωρ 285 πεδίῳ] παιδίω M αὐτὴν] αὐτὸν V H 286 ἀπονρίζων] Dindorf, ἐπουρίζων Ω Αἰθιοπίην] scripsi, Αἰθοπίαν Ω 287 ἁρπάξουσιν] Alexandre, ἀπάρξουσιν Ω 288 ἀπαρτίην] Alexandre, ἁμαρτίην Q V H, ἁμαρτίαν M τῆσδ' ἐκ γῆς] sanavit Alexandre, τῆς δεκτῆς Ω οἷς] coniecit Friedlieb, σοὶ Q V H, οἱ M, ᾗ Alexandre † παίδων καὶ φώτεσι πέμπων] Ω. locus gravi mendo laborans; παίδων ἕνα φῶτ' ἐπιπέμπων inepte Alexandre 290 φρονέων] φρονέον superscripto ω M † περὶ δεινοτάτοις ἐπὶ πᾶσιν] corrupte Ω, an ἐπὶ δεινοτάτοισιν ἅπασιν scribendum? 291 ἥσει] ipse temptavi, οἶσιν Ω, οἴσει Alexandre 292 Ἀσσυρίης] Ἀσσυρίας V M, Ἀσσυρίοις olim coniecit Alexandre 293 οἴκοις] οἴκοις δ' Ω, δ' delevi, quod etiam Alexandre olim melius abesse arbitratus est ἀλαπάξει] ἀλαπάξῃ olim suspicatus est Alexandre 294 δῃσόμενος] Mai, δῃσόμενον Ω. λυσόμενος Alexandre 295 γαίης] ἐπὶ γῆς Alexandre 296] cf. XIII 50 ἄλλο δ' ἄχος πολύμοχθον Ἀλεξανδρεῦσιν ἀείσω Ἀλεξανδρεῦσιν ἀείσω] = XIII 74 (praeter l. c.) 297 αἳ] ipse scripsi, οἱ δ' Ω γῆν] ipse dedi, τὴν Ω 298 βάρβαροι] Alexandre, βάρβαρον Ω θεόθεν χόλος] ipse temptavi, φθόνος ἔκποθεν Ω 299] = VIII 215; excidit ante hunc versus, qui est VIII 214 ποιῶν] ipse correxi ex l. c., ποιεῖ Ω

XIV ἀλλ' ὁπότ' ἂν τρεῖς παῖδες Ὀλύμπια νικήσωσιν (XII)
κἂν μὲν φραζομένοισι θεόκλυτα θέσφατα λέξῃ
αἵματι τετράποδος γαλαθηνοῦ πρῶτα καθῆραι,
τοῖς τοίνυν ὕψιστος ἄγοι μοίρην τότε δεινήν,
ὅς γ' ἂν πενθαλέον μακρὸν δόρυ πᾶσι τινάσσῃ·
αἷμα πολὺ ῥεύσει τότε βάρβαρον ἐν κονίῃσιν,
ξείνοις ἀξείνοισιν ὅτ' ἂν πόλις ἐξαλαπαχθῇ.
ὄλβιος ὃς τέθνηκε καὶ ὄλβιος ὅς τις ἄτεκνος·
τοῖς γὰρ δὴ δούλειον ὑπὸ ζυγὸν αὐχένα θήσει
ὃ πρὶν ἐλευθερίῃσιν ἐπώνυμος ἡγεμονεύσας
βουλὰς ἔμπροσθεν μέγ' ἀοίδιμος οὐκ ἔθ' ἑλίσσων·
τοίην δουλοσύνην θήσει πολύδακρυν ἀνάκτωρ.
καὶ τότε δὴ Σικελῶν στρατὸς αὐτίκα δύσμορος ἥξει,
δεῖμα φέρων, ὁπότ' ἂν πάλι βάρβαρον ἔθνος ἐπέλθῃ·
καρπόν, ἐπὴν φύῃσι, διαμήξουσιν ἀρούρῃς.
τοῖς κακὸν ἀντ' ἀγαθοῦ δώσει θεὸς ὑψικέραυνος·
ξεῖνος ξεῖνον ἀεὶ προνομεύσει χρυσὸν ἀπεχθῆ.
αὐτὰρ ἐπὴν δὴ πάντες ἐπόψονθ' αἷμα λέοντος
ὠμοβόρου φονίῃ θ' ἥξει ἐπὶ σῶμα λέαινα

301 φραζομένοισι] *ipse correxi, quod etiam Alexandro olim in mentem venerat:* δὴ φράζωσι *Q M*, δὴ φράζωσοι *V H*, *de commutatione generum verbi cf. XIV 273* 302 καθῆραι] *Alexandre*, καθήρῃ *V H M*, καθαίρῃ *Q* 303] = *XIV 264, cf. VIII 171* τοῖς Ῥώμῃ ὕψιστος ἄγοι οἰκτρὴν τότε μοίρην ἄγοι] *correxit Alexandre*, ἄγει *Ω* μοίρην] *e VIII 171 restituit Gutschmid*, δειρὴν *Ω*, δῆριν *Friedlieb* 304 ὅς γ' ἂν] *ipse scripsi*, οὐ γ' ἂν *V M*, οὐγ ἂν *H*, οὐ γὰρ *Q*, οὗ γ' ἂν *Mai*, εὖτ' ἂν *Alexandre* μακρὸν δόρυ πᾶσι] *Nauck*, δόρυ μακρὸν ἐπὶ πᾶσι *Ω*, δόρυ μακρὸν πᾶσι *Mai*, δόρυ μακρὸν ἅπασι *Hilberg* τινάσσῃ] *ipse correxi ex Hom. M 298 χ 149*, τανύσῃ *Ω*, τανύσσῃ *Alexandre* 306 ξείνοις] *Alexandre*, κεῖνοις *Q*, κενοῖς *V H M* ἀξείνοισιν ὅτ' ἂν] ἀξείνοισιν. ὁπόταν *Q*; *an* ἀξείνοις ὁπότ' ἂν *scribendum?* 308] *cf. VIII 126* κοὐκ ἔτι σοι δούλειον ὑπὸ ζυγὸν αὐχένα θήσει *XI 67* ὑπὸ δὲ ζυγὸν αὐχένα θήσῃ *XI 76* καὶ ὑπὸ ζυγὸν αὐχένα θήσει *III 448* δεινὸν ζυγὸν αὐχένι θήσῃ *XIII 94* δεινὸν δὲ πάλιν ζυγὸν αὐχένι θήσῃ τοῖς] *ipse temptavi*, τὸν *Ω* 309 ὃ] *Alexandre*, ὃς *Ω* ἐπώνυμος] ἐπώνυμον *Ω*, *correxit Mai* ἡγεμονεύσας] *ipse scripsi*, ἡγεμόνησας *Mai*, *quod Alexandre in* ἡγεμονήσας *mutavit*, εἰς (εἷς *M*) ἐμονεύσεις *Ω* 310 μέγ'] *Meineke*, μὲν *Ω* ἀοίδιμος] *Mai*, ἀοίδιμον *Ω*; *suspectum videtur, fortasse primitus* μὲν ἀναίτιος *scriptum erat* οὐκ ἔθ'] *Alexandre coniecit (qui praeterea* οὔτοι *protulit)*, οὗτος *Q V H*, οὕτως *M*, *an* αὐτός? 311 πολύδακρυν] *ipse temptavi*, πολύεδρον *Ω*, πολύεδρος (= πολύθρονος) *Meineke*, *an* πολύηρος *an* πολύιδρις? ἀνάκτωρ] *Meineke*, ἀνάκτων *Ω* 312 Σικελῶν] Σκυθέων *suspicatus est Alexandre; fortasse vero* Σικελοῖς *legendum est* 313 ὁπότ' ἂν—ἐπέλθῃ] = *III 520* πάλι] *Mai*, πάλιν *Ω* βάρβαρον ἔθνος] *Nauck (cf. l. c.) praeeunte Alexandro in Cur. post.*, βάρβαρος (*om.* ἔθνος) *Ω*, πολυβάρβαρον ἔθνος *Alexandre edidit* 314 ἐπὴν] *ipse dedi*, ἐπὰν *Q M*, ἐπ' ἂν *V H* φύῃσι] *ipse scripsi*, φύσωσι *Ω*, φύσῃσι *Alexandre* ἀρούρῃς] *Alexandre*, ἀρούρας *Ω* 315] *cf. I 46* τοὔνεκεν ἀντ' ἀγαθοῖο λάβον κακόν (*VIII 280*) ἀντ' ἀγαθοῦ] ἀντὶ κακοῦ *Alexandre* θεὸς ὑψικέραυνος] = *I 323* 316 προνομεύσει] *ipse temptavi*, προνομεύσας *Ω* ἀπεχθῆ] *retento* προνομεύσας *Alexandre* ἀπέλθῃ *scripsit* 317 ἐπὴν] ἐπὰν *Mai* ἐπόψονθ'] ἐπόψοντ' *Q M*, ἐπόψοι' *V H*, *correxit Alexandre* λέοντος ὠμοβόρου] *cf. XI 215* λέων . . . ὠμοβόρος θήρ 318 ὠμοβόρου] *Nauck ex l. c.*, θυμοβόρου *Ω* φονίῃ] φονία (φόνια *Q*) *Ω*, *an* φόνιον? θ' ἥξει ἐπὶ σῶμα] *Alexandre*, τ' ἐπὶ σώματι ἥξει *Ω*

XIV †αὐτοῦ κὰκ κεφαλῆς σκῆπτρον δ' ἀπορίψει ἀπ' αὐτοῦ. (XII)
ὡς δ' ὁπότ' ἂν ἐν δαιτὶ φίλῃ γεύσωνται ἅπαντες
λαοὶ ἐν Αἰγύπτῳ, τελέουσι δὲ καρτερὰ ἔργα,
ἄλλος δ' ἄλλον ἔρυκε, πολὺς δ' ἀλαλητὸς ἐν αὐτοῖς·
ὣς αὔτως καὶ τάρβος ἐπέσσεται ἀνθρώποισιν
μαινομένης ἔριδος, πολλοὶ δ' ἀπόλοιντο καὶ ἄλλοι
ἀλλήλους κτείνοντες ὑπὸ κρατερῆς ὑσμίνης.
καὶ τότε κυανέαις φολίσιν πεπυκασμένος ἥξει·
ἥξουσιν δύω ἄλλοι ὁμόρροθοι ἀλλήλοισιν
καὶ τρίτατος αὐτοῖς κριὸς μέγας ἐκ Κυρήνης,
ὃν πρὶν ἔλεξα φυγόντα μάχῃ παρὰ χεύμασι Νείλου·
ἀλλ' οὐδ' ὣς ἄπρηκτον ὁδὸν τελέουσιν ἅπαντες.
καὶ τότε μὲν μεγάλων περιτελλομένων ἐνιαυτῶν
ἔσσονται μῆκη πολυήσυχα· αὐτὰρ ἔπειτα
στήσετ' ἐν Αἰγύπτῳ πόλεμος πάλι δεύτερος αὐτοῖς,
ναυμαχίη δ' ἔσται, νίκη δ' οὐκ ἔσσεται αὐτοῖς.
ἆ μέλεοι, χείρωμ' ἔσται πόλεως ἐπισήμου
καὶ πολέμου σκύλευμα γενήσεται οὐκ ἐπὶ δηρόν.
καὶ τότε δὴ χώρης πολλῆς ὁμοτέρμονες ἄνδρες
φεύξονται δειλοί, δειλοὺς δ' ἄξουσι τοκῆας.
καὶ πάλιν ἐγκύρσουσι πέδῳ μέγα νῖκος ἔχοντες,
Ἰουδαίους δ' ὀλέσουσι, μενεπτολέμους ἀνθρώπους,
ἄχρις ἁλὸς πολιῆς κεραΐζοντες πολέμοισιν,

319 † αὐτοῦ] suspectum; etiam κὰκ κεφαλῆς vix sanum est ἀπορίψει] Mai, ἀπορρίψει Ω 320 γεύσωνται] Q, γεύσονται V H M 321 καρτερὰ] κρατερὰ Q M 322 ἄλλος δ' ἄλλον ἔρυκε] Alexandre, ἄλλον δ' ἄλλον εὕρυκε Q, ἄλλον δ' ἄλλον νεύρυκε M, ἄλλον δ' ἄλλον εὕρηκε V H 323 καὶ] Alexandre, ἐπεὶ Ω 325 ἀλλήλους κτείνοντες] cf. XIV 93 ἀλλήλους κτενέουσι 326 φολίσιν] φολίσι Ω 327 ἥξουσιν] ἥξουσι Ω δύω ἄλλοι] Meineke, δύο ἄλλοι Ω, δύο γ' ἄλλοι olim suasit Alexandre ὁμόρροθοι] Meineke, μωρόθεοι Ω, ἀπρόσφιλοι Alexandre 328 αὐτοῖς κριὸς] αὐτοῖσι κριὸς Ω, correxit Meineke; praesenserat olim Alexandre, qui tamen nihil mutavit 329 μάχῃ] Alexandre, μάχης Ω παρὰ χεύμασι Νείλου] = XI 176, 254, cf. V 484 ἐπὶ χεύμασι Νείλου XII 43 παρὰ χεύμασι Ῥήνου 330 ἀλλ' οὐδ' ὣς] ἀλλὰ καὶ ὣς Alexandre suspicatus est τελέουσιν] an τελέσουσιν? 331 περιτελλομένων ἐνιαυτῶν] = III 649, 728 333 στήσετ' ἐν Αἰγύπτῳ πόλεμος] cf. IV 62 sq. φύλοπις αἰνὴ | στήσεται ἐν πολέμῳ XIV 165 καὶ στήσει πόλεμον στήσετ'] Meineke, idque etiam Alexandre olim suspicatus erat (ceterum Meineke praeterea θύσει vel θύσετ', Alexandre ἔσσετ' coniecerunt), θήσετ' Ω πάλι] πάλιν Ω, correxit Mai 334 ναυμαχίη] Q V H, καυχίη M, cui patrocinatus est Ewald νίκη δ' οὐκ ἔσσεται αὐτοῖς] = XIII 38 XIV 14 νίκη] ipse scripsi ex XIII 38, νῖκος (νίκος H) Ω (ex 338) δ' οὐκ ἔσσεται αὐτοῖς] ex XIII 38 correxit Alexandre, δ' αὐτοῖσιν οὐκ ἔσται Ω 335 ἆ μέλεοι] = IV 161 XIV 259 ἆ] suspicatus est Alexandre, ὦ Ω χείρωμ' ἔσται] Friedlieb adnuente Meinekio, χείρων ἔσται Ω, χειμὼν ἔσται Ewald, χειρώνακτες Alexandre 336 πολέμου] ipse scripsi, πολέμοις Ω 338 δειλοὺς] Alexandre, δολίους Ω, quod tuebatur Ewald 339 ἐγκύρσουσι] ἀγκύρσουσι V H πέδῳ μέγα] ipse temptavi; παῖδα μέγα Ω; πόλει μέγα Alexandre, qui in ed. altera πάλιν δ' αὖ coniecit, υἱοὶ μέγα Ewald, ποσὶ μέγα Mai νῖκος] νίκος H 340 Ἰουδαίους δ'] ipse dedi, Ἰουδαίους (om. δ') Ω

XIV ἀμφότερον, προμάχους περὶ πατρίδος ἠδὲ τοκήων. (XII)
† θήσει δὲ φθιμένοισι τροπαιοφόρων γένος ἀνδρῶν.
αἳ ὁπόσοι φῶτες περὶ κύματα νηχήσονται·
πολλοὶ γὰρ κείσονται ἐπὶ ψαμαθώδεας ἀκτάς·
ξανθὰ κάρηνα πέσονται ἐπ' Αἰγυπτίων πετεηνῶν.
καὶ τότε δὴ Ἄραβας μετελεύσεται αἷμα βρότειον.
ἀλλ' ὅτ' ἂν αὖτε λύκοι κυσὶν ὅρκια πιστώσωνται
νήσῳ ἐν ἀμφιρύτῃ, τότε πύργου ἀνάστασις ἔσται,
ἄνδρες δ' οἰκήσουσι πόλιν μάλα πολλὰ παθοῦσαν.
οὐκ ἔτι γὰρ δόλιος χρυσὸς οὐδ' ἄργυρος ἔσται,
οὐ κτῆσις γαίης, οὐ δουλείη πολύμοχθος·
ἀλλὰ μίη φιλότης τε καὶ εἷς τρόπος εὔφρονι θυμῷ·
κοινὰ δὲ πάντ' ἔσται καὶ φῶς ἴσον ἐν βιότοισιν.
ἐκ γαίης κακίη καταδύσεται εἰς ἅλα δῖαν.
καὶ τότε δ' ἐγγὺς ἔφυ τὸ θέρος μερόπων ἀνθρώπων.
ταῦτα τελεσθῆναι κρατερὴ ἐπικείσετ' ἀνάγκη.
οὐ λέξει τότε τις συμβλήμενος ἄλλος ὁδίτης,
ὥς ῥά ποτ' ἀμπαύσει μερόπων γένος ὀλλυμένων περ.
καὶ τότε δ' ἁγνὸν ἔθνος πάσης γῆς σκῆπτρα κρατήσει
εἰς αἰῶνας ἅπαντας ἅμ' ἰφθίμοισι τέκεσσιν.

356] Marc. 13, 28 Matth. 24, 32 Luc. 21, 29 sq.

342 *ἀμφότερον, προμάχους] ipse temptavi, ποιμένες ἀμφότεροι Ω* 343 *† θήσει] corrupte Ω* 344 *αἳ] Mai, αἳ αἳ M, αἲ αἲ V H αἳ ὁπόσοι φῶτες] cf. II 158 αἳ ὁπόσων παῖδες* 345 *ἐπὶ ψαμαθώδεας ἀκτάς] cf. XII 44 ὑπὲρ ψαμαθώδεας ἀκτάς* 346 *sqq.] in folio 392 b habet Q* 346 *πέσονται] M Mai, πεσῶνται Q, πέσωνται V H* 347] *cf. VIII 157 καὶ τότε θῆρα μέγαν μετελεύσεται αἷμα κελαινόν καὶ τότε δὴ Ἄραβας] restitui, καὶ δὴ τότε τῶν ἀράβων Q, δὴ τότε τῶν ἀράβων V H M* 348] *cf. XIII 28 ἀλλ' ὁπότ' ἂν ποίμνη λύκος ὅρκια πιστώσηται πιστώσωνται] Ω, πιστώσονται Mai* 349 *νήσῳ ἐν ἀμφιρύτῃ] correxit Meineke ex Hom. praeeunte Alexandro (in notis ed. prior.), νήσῳ ἀμφὶ ῥυτῇ Ω πύργου ἀνάστασις] Mai, πύργων ἀνάστασις Ω, πύργων ἄνστασις Alexandre* 350 *ἄνδρες δ'] ipse scripsi, ἄνδρες (om. δ') Ω, ἀνέρες Alexandre edidit, qui olim etiam ἄνδρες τ' scribi posse putarat μάλα] ipse dedi, τὴν Ω, an ἣν?* 352 *οὐ κτῆσις] Mai, οὐ κτίσις V H M, οὐκ τίσις Q οὐ δουλείη πολύμοχθος] cf. II 329 οὐ δοῦλος VIII 110 οὐδεὶς δοῦλος ἐκεῖ* 353 *ἀλλὰ μίη] ἀλλὰ μόνον Nauck coll. Empedocl. 38 ἀλλὰ μόνον μῖξίς τε εὔφρονι θυμῷ] = VIII 497, cf. III 687, 722 ἄφρονι θυμῷ θυμῷ] ipse scripsi, δήμῳ Ω* 354] *cf. II 324 κοινῶς ἅμα πάντες II 321 κοινός τε βίος καὶ πλοῦτος ἄμοιρος VIII 208 καὶ κοινὸς πάντεσσι βίος καὶ πλοῦτος ἐσεῖται ἴσον ἐν βιότοισιν] Meineke, ἴσον ἐν βιότοιο Ω, ἴσον βιότοιο Alexandre* 355 *ἐκ γαίης] Mai, ἐν γαίῃ Ω εἰς ἅλα δῖαν] = III 78* 356 *ἐγγὺς ἔφυ] ipse correxi ex II 164, ἐγγὺς ἦεν Ω, ἐγγὺς ἔην Alexandre ἔφυ τὸ θέρος μερόπων ἀνθρώπων] — II 161* 357] *cf. III 572 πάντα τελεσθῆναι· κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη ἐπικείσετ'] ἐπικείσεται Q V H* 358 *οὐ λέξει τότε τις] cf. II 325 κοὐκ ἔτ' ἐρεῖ τις συμβλήμενος] restitui ex Hom. λ 127, μεμνημένος Ω ἄλλος] correxit Alexandre, ἀλὸς Ω* 359 *ὥς ῥα] ὡς δή ῥα Ω, correxit Mai* 360 *sq.] cf. VIII 169 sq. καὶ τότε δ' ἁγνὸς ἄναξ πάσης γῆς σκῆπτρα κρατήσει | εἰς αἰῶνας ἅπαντας III 49 sq. ἥξει δ' ἁγνὸς ἄναξ πάσης γῆς σκῆπτρα κρατήσων | εἰς αἰῶνας ἅπαντας πάσης] correxit Alexandre, ἁπάσης Ω* 361 *εἰς αἰῶνας ἅπαντας] = VIII 67 τέκεσσιν] ipse scripsi, τοκεῦσιν Ω, τέκνοισιν olim suspicatus est Alexandre* 361] *post hunc in V H secuntur libri VIII vv. 1—9 praemissis σιβύλλης λόγος ιε, cf. ad VIII 1; de subscriptione codicis H cf. praefationem*

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ ΧΡΗΣΜΩΝ
ΑΠΟΣΠΑΣΜΑΤΙΑ

Α

I Ἄνθρωποι θνητοὶ καὶ σάρκινοι, οὐδὲν ἐόντες,
πῶς ταχέως ὑψοῦσθε βίου τέλος οὐκ ἐσορῶντες;
οὐ τρέμετ' οὐδὲ φοβεῖσθε θεόν, τὸν ἐπίσκοπον ὑμῶν,
ὕψιστον γνώστην πανεπόπτην μάρτυρα πάντων
παντοτρόφον κτιστήν, ὅς τις γλυκὺ πνεῦμ' ἐν ἅπασιν
κάτθετο χἠγητῆρα βροτῶν πάντων ἐποίησεν;
εἷς θεός, ὃς μόνος ἄρχει, ὑπερμεγέθης ἀγένητος

I 1] Psalm. 77, 39

I 1—35] Theophilus ad Autolycum II 36 = p. 162 Otto: *Σίβυλλα δὲ ἐν Ἕλλησιν καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν γενομένη προφῆτις ἐν ἀρχῇ τῆς προφητείας αὐτῆς ὀνειδίζει τὸ τῶν ἀνθρώπων γένος λέγουσα·* 1 '*ἄνθρωποι*' — 35 '*ὑπάρχει*' 1] Clemens Alex. Strom. III 3, 14 = vol. II p. 252 Dindorf: *λέγει δὲ καὶ Σίβυλλα·* 1 '*ἄνθρωποι*'—'*ἐόντες*' 5 sq.] Lactantius div. inst. IV 6, 5 = vol. I p. 288, 4— p. 289, 4 Brandt: Sibylla Erythraea in carminis sui principio quod a summo deo exorsa est, filium dei ducem et imperatorem omnium his versibus praedicat: 5 '*παντοτρόφον*' — 6 '*ἐποίησεν*'; cf. inst. epit. 37, 6 = vol. I p. 713, 10 sq. Brandt: Sibylla Erythraea⟩ quoque deum dicit ducem omnium a deo factum 7—9] 'Iustinus' cohort. ad gentil. 16 = vol. II p. 64 Otto[3]: *τίνα δὲ καὶ τὴν ἀρχαίαν καὶ σφόδρα παλαιὰν Σίβυλλαν, ἧς καὶ Πλά-*

I—III] V = Theophili codex Venetus saec. XI
B = Theophili codex Bodleianus gr. 25 saec. XV

I] fragmenta I et III prooemii loco ponenda censuit Betuleius, ut 'caput truncum' restitueretur 1 sqq.] cf. III 8—11 ἄνθρωποι, θεόπλαστον ἔχοντες ἐν εἰκόνι μορφήν, τίπτε μάτην πλάζεσθε καὶ οὐκ εὐθεῖαν ἀταρπὸν | βαίνετε, ἀθανάτου κτιστοῦ μεμνημένοι αἰεί; XIV 1 sq. ἄνθρωποι, τί μάτην, ὡς ἀθάνατοί περ ἐόντες | καὶ βραχὺ κοιρανέοντες ἄγαν ὑψηλὰ φρονεῖτε; ἐόντες] Clemens, ἐῶντες codd. Theophili 2 πῶς ταχέως ὑψοῦσθε] cf. Fr. III 21 ἄνθρωποι, τί μάτην ὑψούμενοι ἐκριζοῦσθε; 3 οὐ—θεόν] cf. III 29 οὐ σέβετ' οὐδὲ φοβεῖσθε θεόν οὐδὲ] Gesner, οὐ codd. τὸν ἐπίσκοπον ὑμῶν] cf. I 152 ἀθάνατος σωτήρ, πανεπίσκοπος 4] cf. II 177 ὕψιστος πάντων πανεπίσκοπος αἰθέρι ναίων πανεπόπτην] Castalio, παντεπόπτην codd. Theophili 5 παντοτρόφον] ΠΑΝΤΟΝΤΡΟΦΟΝ Lactanti codd. H P, ΠΑΤΟΤΡΟΦΟΝ cod. V Lactanti, ΠΑΝΤΩΝΤΡΟΦΟΝ Sedulius, παντότροφον Theophili codd. παντοτρόφον κτιστήν] cf. Fr. III 17 ἄφθαρτος κτιστής I 158 οὐράνιον κτιστήν I 45 III 10 ἀθανάτου κτιστοῦ Fr. V 1 κτιστὴς ἀκράτητος παντοτρόφον κτιστήν] παντοτρόφον, κτίστην Struve distinxit κτιστήν] Lactantius, κτίστιν codd. Theophili γλυκὺ] ΓΛΥΚΥΝ Sedulius πνεῦμ' ἐν ἅπασιν] πνεῦμα ἅπασιν Lactantius (ΠΝЄΥΜΑδΠΑCΙΝ cod. B, ΠΝЄΥΜΑΤΠΑCЄΙΝ cod. V Lactanti) 6 κάτθετο] Castalio, κατέθετο Theophili codd.; Lactantiani haec habent: ΚΑΤЄΘЄΤΟ cod. V cum Sedulio, ΚΑΘΗΤΟ cod. B, ΚΑЄΘЄΤΟ cod. R, ЄΘЄΤΟ cod. S, ΚΑ . ΘЄΤΟ cod. P χἠγητῆρα—ἐποίησεν] cf. Fr. III 13 πάντων θ' ἡγητῆρα κατέστησεν θεότευκτον χἠγητῆρα] ΚΑΙΗΓΗΤΗΡΑ cod. R, ΚΑΙΗΓΗΤΟΡΑ cod. S (B), ΚΑΙΗ ΓΗΤΟΡΑ cod. P, ΚΑΥΗΓΗΤΟΡΑΤ cod. V Lactanti, ΚΑΙ ΗΓΗΤΟΡΑΝ Sedulius βροτῶν] θεὸν Lactantius (ΘЄΩΝ codd. R V Sedulius), cf. inst. epit. 37, 6 supra coll., βροτὸν coniecit Auratus ('hominem Iesum') 7 sq.] cf. III 11 sq. εἷς θεός ἐστι μόναρχος ἀθέσφατος αἰθέρι ναίων | αὐτοφυὴς ἀόρατος ὁρῶν μόνος αὐτὸς ἅπαντα 7] = Anonym. praef. 81 εἷς θεός, ὃς μόνος

1 *παντοκράτωρ ἀόρατος ὁρῶν μόνος αὐτὸς ἅπαντα,*
αὐτὸς δ' οὐ βλέπεται θνητῆς ὑπὸ σαρκὸς ἁπάσης·
τίς γὰρ σὰρξ δύναται τὸν ἐπουράνιον καὶ ἀληθῆ
ὀφθαλμοῖσιν ἰδεῖν θεὸν ἄμβροτον, ὃς πόλον οἰκεῖ;
ἀλλ' οὐδ' ἀκτίνων κατ' ἐναντίον ἠελίοιο
ἄνθρωποι στῆναι δυνατοί, θνητοὶ γεγαῶτες
ἀνέρες, ἐν ὀστοῖσι φλέβες καὶ σάρκες ἐόντες.
αὐτὸν τὸν μόνον ὄντα σέβεσθ' ἡγήτορα κόσμου,
ὃς μόνος εἰς αἰῶνα καὶ ἐξ αἰῶνος ἐτύχθη
αὐτογενὴς ἀγένητος ἅπαντα κρατῶν διὰ παντός,

10] cf. Deuteron. 5, 26

των καὶ Ἀριστοφάνης καὶ ἕτεροι πλείους ὡς χρησμῳδοῦ μέμνηνται. διὰ χρησμῶν ὑμᾶς διδάσκειν περὶ ἑνὸς καὶ μόνου θεοῦ συμβαίνει. ἀναγκαῖον ὑπομνῆσαι· λέγει δὲ οὕτως· 7 '*εἷς*' — 9 '*ἁπάσης*' 7] Lactantius div. inst. I 6, 15 = vol. I p. 23, 16—18 Brandt: in his ergo versibus quos Romam legati adtulerunt de uno deo haec sunt testimonia: 7 '*εἷς*' — '*ἀγένητος*' 10—13] Clemens Alex. Protrept. VI 71 = vol. I 77, 4 Dindorf: *πόθεν ἄρα ὁ τοῦ Γρύλλου σοφίζεται ἢ δηλαδὴ παρὰ τῆς προφήτιδος τῆς Ἑβραίων θεσπιζούσης ὧδέ πως·* 10 '*τίς γὰρ*' — 13 '*γεγαῶτες*'. Strom. V 14, 108 = vol. III p. 89, 7 Dindorf: 10 '*τίς γὰρ*' — 13 *γεγαῶτες' προεῖπεν ἡ Σίβυλλα· unde hausit* Eusebius praep. evang. XIII 13, 35 = vol. II p. 209, 8—11 Dindorf 15 sq.] Lactantius div. inst. I 6, 16 = vol. I p. 24, 4—7 Brandt: qui quoniam solus sit aedificator mundi et artifex rerum vel quibus constat vel quae in eo sunt solum coli oportere testatur: 15 '*αὐτὸν*' — 16 '*ἐτύχθη*' 17] Lactantius div. inst. I 7, 13 = vol. I p. 28, 11—15 Brandt: verum qui fieri non potest quin id quod sit aliquando esse coeperit, consequens est ut quoniam nihil ante illum fuit ipse ante omnia ex se ipso sit procreatus, ideoque ab Apolline *αὐτοφυής*, a Sibylla *αὐτογενής* et *ἀγένητος* et *ἀποίητος* nominatur

ἄρχει] *Lactantius, εἷς θεὸς μόνος ἄρχει codd. Theophili. εἷς θεὸς μόνος ἐστίν 'Iustini' codd. meliores (A B C F), εἷς δὲ θεὸς μόνος ἐστίν (deteriores D G)* 8 *ὁρῶν μόνος*] *ὁρώμενος 'Iustinus' (cf. Orph. Fragm. IV, 10 Abel αὐτὸς δέ γε πάντας ὁρᾶται), quod praefert Mendelssohn* 9 *ὑπὸ*] *'Iustinus', δ' ὑπὸ Theophili codd.* 10 *sq.*] *cf. III 17 τίς γὰρ θνητὸς ἐὼν κατιδεῖν δύναται θεὸν ὄσσοις;* 10 *τίς γὰρ σὰρξ δύναται*] = *Fragm. III 15* *ἐπουράνιον*] *οὐράνιον cod. B Theophili* 11 *ὀφθαλμοῖσιν ἰδεῖν*] *ὀφθαλμοῖς ἰδεῖν codd. Clementis Protrept. praeter vetustissimum P (anni 914), qui ὀφθαλμοῖσιν ἰδεῖν exhibet; 'ὀφθαλμοῖς recte habebit, si ἰδέειν scribatur' Dindorf* *ὃς πόλον οἰκεῖ*] *cf. III 807 οὐρανὸν οἰκῶν* 13 *ἄνθρωποι*] *ἀντωποὶ M. Schmidt coll. Anthol. Pal. XII 196, 3 XV 6, 3* *στῆναι*] *fortasse βλέψαι legi posse monuit anonymus (X.) in Hilgenfeldii Theol. Zeitschr. 1861, p. 437 ex epigrammate Anthol. Pal. XII 196, 3* *δυνατοὶ*] *Clemens Eusebius, δύνανται Theophili codd.* 14 *ἀνέρες, ἐν ὀστοῖσι*] *praeeunte Turnebo, qui ἐν ὀστοῖσι legi iusserat, correxit Nauck, ἄνδρες ἑνὸς τήεσσι V, ἄνδρες ἑνὸς πέεως B Theophili, ἄνδρες ἐν ὀστήεσσι Gesner et Opsopoeus, ἄνδρες ἐνὶ στήθεσσι ('viri, qui in pectoribus venae et carnes sunt') Maranus* 15 *μόνον ὄντα*] *MONONTA Lactanti codd. H M* *σέβεσθ' ἡγήτορα*] *Lactanti codd. haec. habent: CЄBЄCЄNΓETOΓPA B, CЄBЄCΘHΓHOPA R, COΛITЄTЄ ('i. e. colite ex interpretatione lat.' Brandt) CЄBЄCΘ; HHITOPA S, CЄBЄCONTHOPA H M, CЄBЄCΘЄTHTOPA P* *σέβεσθ'*] *σέβεσθε Theophili codd.* 16 *ἐτύχθη*] *ἐτέχθη cod. B Theophili, ЄΥΤΥΧΘΗ Lactanti cod. B, ЄΤΎΘΗ Lactanti cod. S, ЄΥΧΟΝ Lactanti codd. H M* 17] *hunc apud Lactantium div. inst. I 6, 16 post versus, qui ibi commemorantur (Fragm. I 15 sq.) excidisse existimat Brandt 'ita tamen ut pro ἀγένητος legatur ἀποίητος' ex Lactanti div. inst. I 7, 13; nam ἀγένητος librario tribuendum esse censet 'non solum propter languidam vocis ἀγένητος repetitionem sed maxime propterea, quia ἀποίητος oraculorum Sibyll. quae quidem tradita sunt nullo loco invenitur'; contra ἀποίητος Brandt e Lactanti textu eiciendum censuit, Opsopoeus ἀποίητος Lactantium pro διὰ παντός legisse suspicatus est*

I πᾶσι βροτοῖσι νέμων τὸ κριτήριον ἐν φαῒ κοινῷ.
τῆς κακοβουλοσύνης δὲ τὸν ἄξιον ἕξετε μισθόν,
ὅττι θεὸν προλιπόντες ἀληθινὸν ἀέναόν τε
δοξάζειν αὐτῷ τε θύειν ἱερὰς ἑκατόμβας
δαίμοσι τὰς θυσίας ἐποιήσατε τοῖσιν ἐν Ἅιδῃ.
τύφῳ καὶ μανίῃ δὲ βαδίζετε καὶ τρίβον ὀρθὴν
εὐθεῖαν προλιπόντες ἀπήλθετε καὶ δι' ἀκανθῶν
καὶ σκολόπων ἐπλανᾶσθε. βροτοί, παύσασθε, μάταιοι,
ῥεμβόμενοι σκοτίῃ καὶ ἀφεγγέι νυκτὶ μελαίνῃ
καὶ λίπετε σκοτίην νυκτός, φωτὸς δὲ λάβεσθε.
οὗτος ἰδοὺ πάντεσσι σαφὴς ἀπλάνητος ὑπάρχει·
ἔλθετε, μὴ σκοτίην δὲ διώκετε καὶ γνόφον αἰεί.
ἠελίου γλυκυδερκὲς ἰδοὺ φάος ἔξοχα λάμπει.
